




£4.50

ANACREONTIS

ODÆ

ET

FRAGMENTA

GRÆCE ET LATINE.

EX EDITIONE JOHANNIS BAPTISTÆ GAIL,

PARISIIS VULGATA.

DUBLINII:

EXCUDEBAT R. E. MERCIER.

1801.

PRÆHONORABILI ET SUMME COLENDO VIRO

JOHANNI FITZGIBBON,

COMITI DE CLARE, BARONI FITZGIBBON,
&c. &c. &c.

SUMMO HIBERNIAE CANCELLARIO;

IN TESTIMONIUM ANIMI PROPTER BENEFICIA AB
ILLO COLLATA, GRATI,

HANC ANACREONTIS EDITIONEM

HUMILLIME

D. D. D.

TYPOGRAPHI.

AD LECTOREM.

QUUM in mentem nobis venit, novam Græci Scriptoris editionem procurare, neminem potiorem esse duximus, qui typis mandaretur, Anacreonte, scriptore cujus in labellis omnes Gratiæ Veneresque sedes suas posuisse videbantur, et cujus Amores etiamnum vivunt, fidibus commissi. In hunc finem, fidelissimè expressimus Editionem Gailii tum formâ 8vâ. tum 4â. quæ Parisiis prodiit anno 1799. *Adhibuimus præterea Editiones Maittairii, Fabri, Baxteri et Barnesii; et nonnullos errores typographicos, quos in Textum Parisiensem subinde irrepsisse constabat, emendavimus. Ex quo fit, ni admodum nos fallat nostræ mentis augurium, ut speramus Editionem nostram non magis Orbi Literario per typorum nitorem, quàm per textum a vitiis purgatum, commendatam fore.—Quum autem munus edendi Græcum Scriptorem, nos primi in hoc regno aggressi sumus, (illis in usum Scholarum et Juventutis Academicæ exceptis) certè summo studio invigilandum fuit, ut quàm curatissimè in lucem prodiret: hosce autem conatus nostros si non dedignatur Lector eruditus, stimulos nobis addet, ut alios Græcos Scriptores evulgare studeamus, eumque pleniori gratiâ demereamur.*

Apr. 1801.

ANACREONTIS
ODÆ.

ΑΝΑΚΡΕΟΝΤΟΣ ΩΔΑΙ.

Α.

Εἰς λύραν.

ΘΕΛΩ λέγειν Ἀτρείδας,
Θέλω δὲ Κάδμον ᾄδειν·
Ἁ βάρβιτος δὲ χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.
Ἤμειψα νεῦρα πρώην,
Καὶ τὴν λύρην ἅπασαν·
Κἀγὼ μὲν ᾖδον ἄθλους
Ἡρακλέους, λύρη δὲ
Ἔρωτας ἀντεφώνει.
Χαίροιτε λοιπὸν ἡμῖν
Ἥρωες· ἡ λύρη γὰρ
Μόνους ἔρωτας ᾄδει.

ANACREONTIS ODÆ.

I.

De lyra. H. ST.

CANTEM libens Atridas,
Cantem libensque Cadmum:
Sed barbiti mihi unum
Nervi sonant amorem.
Mutata nuper a me
Chelys fidesque cunctæ:
Jamque Herculis labores
Canebam; at illa contra
Sonabat usque amores.
Heroes, ergo longum
Mihi valete posthac;
Nam barbiti mihi unum
Nervi sonant amorem.

Β.

Εἰς γυναῖκας.

Φύσις κέρατα ταύροις,
Ὁπλὰς δ' ἔδωκεν ἵπποις,
Ποδωκίην λαγωοῖς,
Λέουσι χάσμ' ὀδόντων,
Τοῖς ἰχθύσιν τὸ νηκτὸν,
Τοῖς ὀρνέοις πέτασθαι,
Τοῖς ἀνδράσι φρόνημα.
Γυναιξὶν οὐκ ἔτ' εἶχεν.
Τί οὖν δίδωσι; κάλλος,
Ἀντ' ἀσπίδων ἁπασῶν,
Ἀντ' ἐγχέων ἁπάντων.
Νικᾷ δὲ καὶ σίδηρον,
Καὶ πῦρ, καλή τις οὖσα.

Γ.

Εἰς Ἔρωτα.

Μεσονυκτίοις ποθ' ὥραις,
Στρέφεται ὅτ' ἄρκτος ἤδη

II.

De mulieribus. H. ST.

Tauro, ferire cornu,
Equo, ferire calce,
Lepori, valere curſu,
Natura dat ; leoni
Dentes hiante rictu ;
Piſces docet natare,
Aves docet volare :
Prudentiam viris dat,
At fœminis nequivit.
Quid ergo donat illis ?
Decoram habere formam,
Pro parmuliſque cunctis.
Pro lanceiſque cunctis.
Quin flamma cedat illi,
Ferrumque, ſi qua pulchra eſt.

III.

De Cupidine. H. ST.

Nuper, ſilente nocte,
Quum jam rotatur urſa

Κατὰ χεῖρα τὴν Βοώτου,
Μερόπων δὲ φῦλα πάντα
Κέαται κόπῳ δαμέντα,
Τότ᾽ Ἔρως ἐπισταθείς μευ
Θυρέων ἔκοπτ᾽ ὀχῆας·
Τίς, ἔφην, θύρας ἀράσσει,
Κατά μευ σχίσεις ὀνείρους;
Ὁ δ᾽ Ἔρως, ἄνοιγε, φησὶ,
Βρέφος εἰμὶ, μὴ φόβησαι·
Βρέχομαι δὲ, κἀσέληνον
Κατὰ νύκτα πεπλάνημαι.
Ἐλέησα ταῦτ᾽ ἀκούσας·
Ἀνὰ δ᾽ εὐθὺ λύχνον ἅψας
Ἀνέῳξα· καὶ βρέφος μὲν
Ἐσορῶ, φέροντα τόξον,
Πτέρυγάς τε καὶ φαρέτρην.
Παρὰ δ᾽ ἱστίην καθίξας,
Παλάμαισι χεῖρας αὐτοῦ

Circa manum Bootæ,
Et corpus omne ſomnos
Feſſum labore carpit;
Supervenit, foreſque
Meas Cupido pulſat.
Quis tundit oſtium, inquam,
Turbatque ſomniantem?
Reclude, clamat ille,
Fores, metumque pone;
Nam ſum puellus, et per
Illunem oberro noctem,
Madens ab imbre totus.
Ut audii hæc, miſertus
Accendo lumen, atque
Meos recludo poſtes.
Tunc conſpicor puellum,
Sed arcum habentem et alas,
Sed pendulam pharetram.
Foco admovetur a me,
Manibus manus et ejus
Foveo, ut caleſcat, imbrem
Et exprimo capillis.

Ἀνέθαλπον, ἐκ δὲ χαίτης
Ἀπέθλιβον ὑγρὸν ὕδωρ.
Ὁ δ', ἐπεὶ κρύος μεθῆκε,
Φέρε, φησὶ, πειράσωμεν
Τόδε τόξον, ἔς τί μοι νῦν
Βλάβεται βραχεῖσα νευρή.
Τανύει δὲ, καί με τύπτει
Μέσον ἧπαρ, ὥσπερ οἶστρος.
Ἀνὰ δ' ἅλλεται καχάζων,
Ξένε δ', εἶπε, συγχάρηθι·
Κέρας ἀβλαβὲς μέν ἐστι,
Σὺ δὲ καρδίην πονήσεις.

Δ.

Εἰς ἑαυτόν.

Ἐπὶ μυρσίναις τερείναις,
Ἐπὶ λωτίναις τε ποίαις
Στορέσας θέλω προπίνειν.
Ὁ δ' Ἔρως, χιτῶνα δήσας

Ille, ut receſſit algor,
Probemus, inquit, arcum,
An læſus imbre nervus,
Statimque tendit illum.
Ferit et mihi ſagitta
Medium jecur, quaſi œſtrum.
Tunc exilit cachinnans;
Aitque: gratulare,
O hoſpes; ecce ſalvus
Meus quidem mihi arcus,
At cor tibi dolebit.

IV.

De ſeipſo. H. ST.

Teneris ſuperque myrtis,
Super et virente loto
Recubans, bibam lubenter.
Religatus at papyro
Tunicam Cupido collo
Mihi poculum miniſtret:
Rota nam velut curulis

Ὑπὲρ αὐχένος πατύρῳ,
Μέθυ μοὶ διακονείτω.
Τροχὸς ἅρματος γὰρ οἷα
Βίοτος τρέχει κυλισθείς·
Ὀλίγη δὲ κεισόμεσθα
Κόνις, ὀστέων λυθέντων.
Τί σε δεῖ λίθον μυρίζειν;
Τί δὲ γῇ χέειν μάταια;
Ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
Μύρισον, ῥόδοις δὲ κρᾶτα
Πύκασον· κάλει δ' ἑταίρην.
Πρὶν ἐκεῖσε δεῖ μ' ἀπελθεῖν
Ὑπὸ νερτέρων χορείας,
Σκεδάσαι θέλω μερίμνας.

Ε.

Εἰς ῥόδον.

Τὸ ῥόδον τὸ τῶν ἐρώτων
Μίξωμεν Διονύσῳ·

Properat volucris ætas;
Tenuis jacebimuſque
Cinis, oſſibus ſolutis.
Tumulum quid eſt quod ungas,
Vel humo quod ebibenda
Peritura dona fundas?
Potius, manente vita,
Roſeas meo corollas
Capiti, feraſque odores;
Mihi et evoces amicam.
Etenim, priuſquam ad Orci
Rapiar nigri choreas,
Volo diſſipare curas.

V.

De roſa. H. ST.

Roſam Amoribus dicatam
Sociemus ad Lyæum:
Foliis roſam decoram

Τὸ ῥόδον τὸ καλλίφυλλον
Κροτάφοισιν ἁρμόσαντες,
Πίνωμεν ἁβρὰ γελῶντες.
Ῥόδον ὦ φέριστον ἄνθος,
Ῥόδον ἔιαρος μέλημα.
Ῥόδα καὶ θεοῖσι τερπνά·
Ῥόδα παῖς ὁ τῆς Κυθήρης
Στέφεται καλοὺς ἰούλους,
Χαρίτεσσι συγχορεύων.
Στεφώμεθ' οὖν· λυρίζων
Παρά σοῖς, Διόνυσε, σηκοῖς,
Μετὰ κούρης βαθυκόλπου
Ῥοδίνοισι στεφανίσκοις
Πεπυκασμένος χορεύσω.

ς.

Ἐρωτικὸν, ἢ κῶμος.

Στεφάνους μὲν κροτάφοισι
Ῥοδίνους συναρμόσαντες

Capiti revincientes,
Calices jocemur inter.
Rofa, honor decufque florum:
Rofa, cura amorque veris:
Rofa, cœlitum voluptas.
Rofeis puer Cytheres
Caput implicat corollis,
Charitum choros frequentans.
Agedum ergo me corona,
Pater o Lyæe, templis
Modulans tuis ut adftem;
Rofeis comafque fertis
Redimitus, atque pulchra
Comitante me puella,
Choreas et ipfe ducam.

VI.

In comiffationem. H. ST.

Rofeis comas corollis
Redimita turba molles
Sociat jocos Lyæo;

Μεθύομεν ἁβρὰ γελῶντες·
Ὑπὸ βαρβίτῳ δὲ κούρα
Καταχίσσοισι βρέμοντας
Πλοκάμοις φέρουσα θύρσους
Χλιδανόσφυρος χορεύει.
Ἁβροχαίτας δ' ἅμα κοῦρος,
Στομάτων ἁδὺ πνεόντων,
Κατὰ πηκτίδων ἀθύρει,
Προχέων λίγειαν ὀμφάν.
Ὁ δ' Ἔρως ὁ χρυσοχαίτας
Μετὰ τοῦ καλοῦ Λυαίου
Καὶ τῆς καλῆς Κυθήρης
Τὸν ἐπήρατον γεραιοῖς
Κῶμον μέτεισι χαίρων.

Ζ.

Εἰς Ἔρωτα.

Ὑακινθίνῃ μὲ ῥάβδῳ
Χαλεπῶς Ἔρως ῥαπίζων

Citharas et ad ſonantes
Teneris puella plantis
Agitat choros, ſtrepentem
Hederis geritque thyrſum:
Tenero at puer capillo
Simul ore ſuave olenti
Sonat hic modos canoros,
Simul et fides retentat.
Sed et aurea decorus
Veniens coma Cupido,
Comitante cum Lyæo,
Comitante cum Cythere,
Senibus voluptuoſam
Choream lubens frequentat.

VII.

In Amorem. H. ST.

Hyacinthino bacillo,
Adigebat ad ſequendum
Celeri Cupido curſu.

Ἐκέλευε συντροχάζειν,
Διὰ δ' ὀξέων μ' ἀναύρων,
Ξυλόχων τὲ καὶ φαράγγων
Τροχάοντα τεῖρεν ἱδρώς.
Κραδίη δὲ ῥινὸς ἄχρις
Ἀνέβαινε· κἂν ἀπέσβην.
Ὁ δ' Ἔρως μετώπα σείων
Ἁπαλοῖς πτεροῖσιν, εἶπε·
Σὺ γὰρ οὐ δύνῃ φιλῆσαι.

Η.

Εἰς τὸν ἑαυτοῦ ὄνειρον.

Διὰ νυκτὸς ἐγκαθεύδων
Ἁλιπορφύροις τάπησι,
Γεγανυμένος Λυαίῳ,
Ἐδόκουν ἄκροισι ταρσοῖς
Δρόμον ὠκὺν ἐκτανύειν,
Μετὰ παρθένων ἀθύρων.
Ἐπεκερτόμουν δὲ παῖδες

Salebrosa sed fluenta,
Fruticeta valliumque,
Propere perambulantem
Pupugit latenter hydrus.
Mihi jamque subsilibat
Cor ad ima naris usque;
Animamque reddidissem:
Teneris mihi sed alis
Agitans Cupido frontem
Ait, ergo amare disce.

VIII.

De suo somnio. E. AN.

Tyrio in tapete noctu
Facili fruens sopore,
Hilaratus ante Baccho,
Mihi cum puellularum
Grege lusitans videbar
Celeri volare cursu.
Ibi vero molliores

Ἁπαλώτεροι Λυαίου,
Δακέθυμά μοι λέγοντες,
Διὰ τὰς καλὰς ἐκείνας.
Ἐθέλοντα δὲ φιλῆσαι
Φύγον ἐξ ὕπνου μὲ πάντες.
Μεμονωμένος δ' ὁ τλήμων
Πάλιν ἤθελον καθεύδειν.

Θ.

Εἰς περιστεράν.

Ἐρασμίη πέλεια,
Πόθεν πόθεν πετᾶσαι;
Πόθεν μύρων τοσούτων,
Ἐπ' ἠέρος θέουσα,
Πνέεις τὲ καὶ ψεκάζεις;
Τίς εἶς; τί σοι μέλει δέ;
Ἀνακρέων μ' ἔπεμψε
Πρὸς παῖδα πρὸς Βάθυλλον,
Τὸν ἄρτι τῶν ἁπάντων

Pueri bono Lyæo
Mihi virgines ob illas
Probra rurſus ingerebant.
Volui ſuaviari: at
Subito excitum relinquunt.
Ita vero deſtitutus,
Repeto miſer ſoporem.

IX.

De columba. H. ST.

Amabilis columba,
Unde unde pergis, aut quo?
Tot unde nunc odores,
Huc advolans per auras,
Spiraſque depluiſque?
Eho! quid iſtud ad te?
  Anacreon ſuum me
Huc miſit ad Bathyllum,
Illum Bathyllum ubique

Κρατοῦντα καὶ τύραννον.
Πέπρακέ μ' ἡ Κυθήρη
Λαβοῦσα μικρὸν ὕμνον·
Ἐγὼ δ' Ἀνακρέοντι
Διακονῶ τοσαῦτα·
Καὶ νῦν ὁρᾷς ἐκείνου
Ἐπιστολὰς κομίζω·
Καὶ φησιν εὐθέως μὲ
Ἐλευθέρην ποιήσειν·
Ἐγὼ δὲ, κἢν ἀφῇ μὲ,
Δούλη μενῶ παρ' αὐτῷ.
Τί γάρ με δεὶ πέτασθαι
Ὄρη τὲ καὶ κατ' ἀγροὺς,
Καὶ δένδρεσιν καθίζειν,
Φαγοῦσαν ἄγριόν τι;
Τανῦν ἔδω μὲν ἄρτον
Ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτοῦ·

Qui regnat imperatque.
Me parvulo Cythere
Addixit hymnulo illi.
Sic ergo Anacreon me
Nunc utitur miniſtra:
Et en vides ut ejus
Iſtas fero tabellas.
Brevique pollicetur
Me liberam futuram.
Verumtamen manu me
Ut mittat, ejus uſque
Manere ſerva malo.
Nam quid neceſſe montes
Circumvolare et agros,
Et inſidere ramis,
Baccas edentem agreſtes?
At nunc mihi poteſtas
Raptum ex Anacreontis
Manu comeſſe panem:
Vinum biboque ſolum
Quod ipſemet propinat.
Sin forte pota ſalto,

Πιεῖν δέ μοι δίδωσι
Τὸν οἶνον ὃν προπίνει.
Πιοῦσα δ' ἂν χορεύω,
Καὶ δεσπότην Ἀνακρέοντα
Πτεροῖσι συσκιάζω.
Κοιμωμένη δ' ἐπ' αὐτῷ
Τῷ βαρβίτῳ καθεύδω.
Ἔχεις ἅπαντ'· ἄπελθε.
Λαλιστέραν μ' ἔθηκας,
Ἄνθρωπε, καὶ κορώνης.

I.

Εἰς Ἔρωτα κήρινον.

Ἔρωτα κήρινόν τις
Νεηνίης ἐπώλει·
Ἐγὼ δέ οἱ παραστὰς,
Πόσου θέλεις, ἔφην, σοὶ
Τὸ τευχθὲν ἐκπρίωμαι;
Ὁ δ' εἶπε δωριάζων,

Pennis Anacreonta
Herum meis obumbro:
In ejus et reclinans
Me barbito, quiefco.
Hæc fumma: jam valeto.
Tu me loquaciorem
Cornice reddidifti.

X.

De Amore cereo. E. AN.

Dum cereus cuidam
Venundatur Cupido,
Amice, dicito, inquam,
Quanti indicas Amorem
Iftum mihi, politum
Opus tuum? Ille vero:

Λάβ' αὐτὸν ὁππόσου λῇς.
Ὅμως ἵν' ἐκμάθῃς πᾶν,
Οὐκ εἰμὶ κηροτέχνας,
Ἀλλ' οὐ θέλω συνοικεῖν
Ἔρωτι παντορέκτᾳ.
Δὸς οὖν, δὸς αὐτὸν ἡμῖν
Δραχμῆς καλὸν σύνευνον.
Ἔρως, σὺ δ' εὐθέως με
Πύρωσον· εἰ δὲ μή, σὺ
Κατὰ φλογὸς τακήσῃ.

ΙΑ.

Εἰς ἑαυτόν.

Λέγουσιν αἱ γυναῖκες,
Ἀνακρέων, γέρων εἶ.
Λαβὼν ἔσοπτρον ἄθρει
Κόμας μὲν οὐκέτ' οὔσας,
Ψιλὸν δέ σευ μέτωπον.
Ἐγὼ δὲ τὰς κόμας μὲν,

Quanti velis habe, inquit.
At rem ſcias ut ipſam,
Nil cereum ipſe fingo;
Sed ferre nolo Amorem
Domi, omnium appetentem.
Da vero, da mihi, inquam,
Drachma; cubabit iſte
Mecum puer venuſtus.
At tu ſtatim, Cupido,
Amabo, fac caleſcam;
Nam ſi negabis, ipſe
Flamma ſtatim liqueſces.

XI.

De ſeipſo. H. ST.

Dicunt mihi puellæ:
Anacreon, ſenex es,
Speculum cape; intuere
Nullæ ut comæ ſuperſint,
Tibique glabra ſit frons.
At an comæ ſuperſint,

Εἴτ' εἰσὶν, εἴτ' ἀπῆλθον,
Οὐκ οἶδα· τοῦτο δ' οἶδα,
Ὡς τῷ γέροντι μᾶλλον
Πρέπει τὰ τερπνὰ παίζειν,
Ὅσῳ πέλας τὰ μοίρης.

ΙΒ.

Εἰς χελιδόνα.

Τί σοὶ θέλεις ποιήσω·
Τί, κωτίλη χελιδών; garrula
Τὰ ταρσά σευ τὰ κοῦφα
Θέλεις λαβὼν ψαλίξω;
Ἢ μᾶλλον ἔνδοθέν σευ
Τὴν γλῶσσαν, ὡς ὁ Τηρεὺς
Ἐκεῖνος, ἐκθερίξω;
Τί μευ καλῶν ὀνείρων,
Ὑπορθρίαισι φωναῖς,
Ἀφήρπασας Βάθυλλον;

Defluxerint an omnes,
Hoc nescio; sed illud
Certo scio, decere
Senem hoc magis vacare
Amoribus jocisque,
Quo mors magis propinquat.

XII.

Ad hirundinem. H. ST.

Quibus, loquax, quibusnam
Te plectam hirundo pœnis?
Utrumne vis volucres
Alas tibi recidam?
Imam secemve linguam,
Tibi quod ille Tereus
Fecisse fertur olim?
Nam tu quid, ante lucem
Meas strepens ad aures,
E somniis beatis
Mihi rapis Bathyllum?

ΙΓ.

Εἰς ἑαυτόν.

Οἱ μὲν καλὴν Κυβήβην
Τὸν ἡμίθηλυν Ἄττιν
Ἐν οὔρεσιν βοῶντα
Λέγουσιν ἐκμανῆναι·
Οἱ δὲ Κλάρου παρ᾽ ὄχθαις
Δαφνηφόροιο Φοίβου
Λάλον πιόντες ὕδωρ,
Μεμηνότες βοῶσιν·
Ἐγὼ δὲ τοῦ Λυαίου,
Καὶ τοῦ μύρου κορεσθεὶς,
Καὶ τῆς ἐμῆς ἑταίρης,
Θέλω, θέλω μανῆναι.

ΙΔ.

Εἰς Ἔρωτα.

Θέλω θέλω φιλῆσαι.
Ἔπειθ᾽ Ἔρως φιλεῖν με·

XIII.

In ſeipſum. E. AN.

Gallus furebat Atys
In montibus Cybelen
Magno ſonans boatu:
Nec non aquam bibentes
Apollinis diſertam
Ripis Clari, furore
Acti, ſubinde clamant.
Ego ſimul Lyæi,
Nardi ſimul fragrantis
Satur, ſimul puellæ,
Libens, libens protervo
Præceps agor furore.

XIV.

De Cupidine. H. ST.

Libet, libet jam amare.
Cupido me monebat

Ἐγὼ δ' ἔχων νοήμα
Ἄβουλον, οὐκ ἐπείσθην.
Ὁ δ' εὐθὺ τόξον ἄρας
Καὶ χρυσέην φαρέτρην,
Μάχῃ με προὐκαλεῖτο.
Κἀγὼ λαβὼν ἐπ' ὤμων
Θώρηχ' ὅπως Ἀχιλλεὺς,
Καὶ δοῦρα καὶ βοείην,
Ἐμαρνάμην Ἔρωτι.
Ἔβαλλ', ἐγὼ δ' ἔφευγον.
Ὡς δ' οὐκ ἔτ' εἶχ' ὀϊστοὺς
Ἤσχαλλεν, εἶθ' ἑαυτὸν
Ἀφῆκεν εἰς βέλεμνον.
Μέσος δὲ καρδίης μὲυ
Ἔδυνε, καὶ μ' ἔλυσε.
Μάτην δ' ἔχω βοείην.
Τί γὰρ βαλώμεν ἔξω,
Μάχης ἔσω μ' ἐχούσης;

Ut amator esse vellem :
At ego insciens monenti
Parere negligebam.
Mox ergo sumpsit arcum
Et auream pharetram,
Me prælio lacessens.
Ego vero, ut olim Achilles,
Lorica amictus, atque
Scuto minax et hasta,
Cum Amore præliabar.
Jaciebat ille tela,
Vertebam at ipse terga.
Tandemque missili omni
Quum destitutus esset,
Ira æstuans, jacit se
In me, velut sagittam ;
Penetrans et in cor usque
Medium, resolvit artus.
Scutum ergo nil juvat me :
Nam cur petamur extra,
Quum prælium sit intus ?

ΙΕ.

Εἰς τὸ ἀφθόνως ζῆν.

Οὔ μοι μέλει τὰ Γύγεω
Τοῦ Σαρδίων ἄνακτος·
Οὐδ' εἷλέ πω με ζῆλος,
Οὐδὲ φθονῶ τυράννοις.
Ἐμοὶ μέλει μύροισι
Καταβρέχειν ὑπήνην·
Ἐμοὶ μέλει ῥόδοισι
Καταστέφειν κάρηνα.
Τὸ σήμερον μέλει μοι,
Τὸ δ' αὔριον τίς οἶδεν;
(Ὡς οὖν ἔτ' εὐδί' ἐστὶ,
Καὶ πῖνε καὶ κύβευε,
Καὶ σπένδε τῷ Λυαίῳ,
Μὴ νοῦσος ἤν τις ἔλθῃ,
Λέξῃ, σὲ μὴ δεῖ πίνειν.)

XV.

De ſeipſo. H. ST.

Nil curo Sardiani
Regni Gygen potentem;
Auri nec appetens ſum,
Nec invidens tyrannis:
Sed curo delibutam
Unguento habere barbam,
Sed implicare curo
Meos roſis capillos.
Hodierna curo tantum:
Quis cras futura novit?
Age ergo dum favet ſors,
Ludo vaca et Lyæo;
Ne, ſi quis opprimat te
Morbus repente, dicat,
Ohe! ſatis bibiſti.

Ιϛ.

Εἰς ἑαυτόν.

Σὺ μὲν λέγεις τὰ Θήϐης,
Ὁ δ᾽ αὖ Φρυγῶν ἀϋτὰς,
Ἐγὼ δ᾽ ἐμὰς ἁλώσεις.
Οὐχ ἵππος ὤλεσεν με,
Οὐ πεζὸς, οὐχὶ νῆες·
Στρατὸς δὲ καινὸς ἄλλος,
Ἀπ᾽ ὀμμάτων βαλών με.

ΙΖ.

Εἰς ποτήριον ἀργυροῦν.

Τὸν ἄργυρον τορεύσας
Ἥφαιστέ, μοι ποίησον,
Πανοπλίαν μὲν οὐχί·
(Τί γὰρ μάχαισι κἀμοί;)
Ποτήριον δὲ κοῖλον
Ὅσον δύνῃ βάθυνας.
Ποίει δὲ μοι κατ᾽ αὐτὸ

XVI.

De ſeipſo. H. ST.

Thebana bella cantas,
Trojana cantat alter:
Meas at ipſe clades.
Me non eques pedeſve,
Non perdidere naves:
Aliud novum ſed agmen,
Dominæ inſidens ocellis,
Et inde tela mittens.

XVII.

De poculo argenteo. H. ST.

Torno mihi labora
Argentum, et inde finge,
Vulcane, non quidem arma,
(Nam quid Gradivus ad me?)
Sed poculum mihi fac
Quantum potes profundum;
Inſculpitoque in illo

Μήτ' ἄστρα, μήθ' ἁμάξαν,
Μὴ στυγνὸν Ὠρίωνα·
(Τί Πλειάδων μέλει μοι,
Τί δ' ἀστέρος Βοώτεω;
Ποίησον ἀμπέλους μοι
Καὶ βότρυας κατ' αὐτὸ,
Καὶ Μαινάδας τρυγώσας·
Ποίει δὲ ληνὸν οἴνου,
Καὶ χρυσέους πατοῦντας,
Ὁμοῦ καλῷ Λυαίῳ,
Ἔρωτα καὶ Βάθυλλον.

ΙΗ.

Εἰς τὸ αὐτό.

Καλλίτεχνα, τόρευσον
Ἔαρος κύπελλον ἡδὺ,
Τὰ πρῶτα τερπνὰ ἡμῖν
Ῥόδα φέρουσαν ὥρην.
Ἀργύριον δ' ἁπλώσας,

Non aſtra, plauſtraque ulla,
Triſtem nec Orionem;
(Nam Pleiades quid ad me,
Quid lucidus Bootes?)
Vitem ſed et racemos
Inſculpe, cumque Baccho
Uvas ſimul prementes
Cupidinem et Bathyllum.

XVIII.

De eodem. E. AN.

Ars bella, delicatum
Scyphum mihi elabora
Argenteum: novum ver
Effinge, veris hora,
Hora roſas ferente,
Roſas quibus nec ulla
Mihi prior voluptas.
Id vero ubi explicaris,
Affinge potionem,

Ποτὸν ποίει μοι τερπνόν.
Τῶν τελετῶν παραινῶ
Μή μοι ξένον τορεύσῃς,
Μὴ φευκτὸν ἱστόρημα.
Μᾶλλον ποίει Διὸς γόνον
Βάκχον εὔϊον ἡμῖν·
Μύστιν τε τῶν πόθων Κύπριν
Ὑμεναίους κροτοῦσαν.
Χάρασσ' Ἔρωτας ἀνόπλους,
Καὶ Χάριτας γελώσας
Ὑπ' ἄμπελον εὐπέταλον,
Εὐβότρυον, κομῶσαν.
Σύναπτε κούρους εὐπρεπεῖς,
Ὁμοῦ δὲ Φοῖβος ἀθύροι.

ΙΘ.

Εἰς τὸ δεῖν πίνειν.

Ἡ γῆ μέλαινα πίνει,
Πίνει δὲ δένδρε' αὐτὴν,

Dulciſſimam ſed illam.
Nefarium ſacrorum
Ritum aufer exterûm, nec
Sit triſtis ulla imago.
Cælato vero nobis
Prolem Jovis Lyæum:
Dulcemque temperato
Myſtis, Venus, liquorem,
Quæ nuptiis amica.
Inſculpe Amorem inermem,
Et Gratias jocantes
Vitis ſacræ ſub umbra,
Pendentibus racemis
Et pampino frequentis.
His inſuper venuſtos,
Ni Phœbus ipſe ludat,
Addas velim juvencos.

XIX.

Bibendum eſſe. H. ST.

Fœcunda terra potat,
Hanc arboreſque potant;

Πίνει θάλασσα δ' αὔρας,
Ὁ δ' ἥλιος θάλασσαν,
Τὸν δ' ἥλιον σελήνη.
Τί μοι μάχεσθ' ἑταῖροι,
Κ' αὐτῷ θέλοντι πίνειν;

Κ.

Εἰς κόρην.

Ἡ Ταντάλου ποτ' ἔστη
Λίθος Φρυγῶν ἐν ὄχθαις·
Καὶ παῖς ποτ' ὄρνις ἔπτη
Πανδίονος χελιδών.
Ἐγὼ δ' ἔσοπτρον εἴην,
Ὅπως ἀεὶ βλέπῃς με.
Ἐγὼ χιτὼν γενοίμην,
Ὅπως ἀεὶ φορῇς με.
Ὕδωρ θέλω γενέσθαι,
Ὅπως σὲ χρῶτα λούσω.
Μύρον, γύναι, γενοίμην,

Et potat æquor auras,
Phœbuſque potat æquor,
Ipſumque Luna Phœbum.
Quid ergo vos, ſodales,
Potare me vetatis?

XX.

De puella. H. ST.

Nioben ſtetiſſe dicunt
Saxum ad fluenta Trojæ:
Pandioniſque fertur
Hirundo facta quondam
Novis volaſſe pennis.
Speculum ſed ipſe fiam,
Ut uſque ſpecter a te.
Veſtis, puella, fiam,
Ut uſque geſter a te.
Liquor eſſe purus optem,
Lavem tuos ut artus.
Unguentum et eſſe molle,

Ὅπως ἐγώ σ' ἀλείψω,
Καὶ ταινίη δὲ μαστῶν,
Καὶ μάργαρον τραχήλῳ.
Καὶ σάνδαλον γενοίμην,
Μόνον ποσὶν πατεῖν με.

ΚΑ.

Εἰς ἑαυτόν.

Δότε μοι, δότ', ὦ γυναῖκες,
Βρομίου πιεῖν ἀμυστί·
Ὑπὸ καύματος γὰρ ἤδη
Προδοθεὶς ἀναστενάζω.
Δότε δ' ἀνθέων ἐκείνου·
Στεφάνους δ', οἵοις πυκάζω
Τὰ μέτωπά μου, 'πικαίω.
Τὸ δὲ καῦμα τῶν ἐρώτων,
Κραδίη, τίνι σκεπάζω;

Artus tuos ut ungam.
Et ſim monile collo,
Strophium aut tuis papillis.
Sim calceus, tua me
Saltem teraſque planta.

XXI.

In ſeipſum. E. AN.

Date mi, date, o puellæ,
Cyathum, ut bibam, Lyæi.
Quia me bibit quoque ipſum
Calor aridus jam, et ægre
Animam trahens anhelo.
Date floſculos Lyæi,
Date ſerta queis calentem
Amo frigerare frontem.
Penitiſſimos amorum
Aliter tego calores,
Alioque condo corde.

ΚΒ.

Εἰς Βάθυλλον.

Παρὰ τὴν σκιὴν, Βάθυλλε,
Καθίσον. Καλὸν τὸ δένδρον·
Ἁπαλὰς δ' ἔσεισε χαίτας
Μαλακωτάτῳ κλαδίσκῳ.
Παρά δ' αὐτὸν ἐρεθίζει
Πηγὴ ῥέουσα πειθοῦς.
Τίς ἂν οὖν ὁρῶν παρέλθοι
Καταγώγιον τοιοῦτον;

ΚΓ.

Εἰς τὸν πλοῦτον.

Ὁ πλοῦτος εἴγε Χρυσοῦ
Τὸ ζῆν παρεῖχε θνητοῖς,
Ἐκαρτέρουν φυλάσσων,
Ἵν', ἂν Θάνατος ἐπέλθῃ,
Λάβῃ τι, καὶ παρέλθῃ.
Εἰ δ' οὔ τι που πρίασθαι

XXII.

In Bathyllum. E. AN.

Agedum, Bathylle, ad umbram
Statue arborem virentem.
Agitet comaſque molles,
Teneræ ſonentque frondes;
Prope fons fluat perennis
Suadæ, ſtrepente lympha.
Quis eo applicare nolit
Ubi viderit viator?

XXIII.

De auro. H. ST.

Si prorogare vitam
Vis ulla poſſet auri,
Addictus uſque et uſque
Auro forem aggerendo,
Ut quando Mors veniret,
Accepto abiret auro.

Τὸ ζῆν ἔνεστι θνητοῖς,
Τί καὶ μάτην στενάζω;
Τί καὶ γόους προπέμπω;
Θανεῖν γὰρ εἰ πέπρωται,
Τί χρυσὸς ὠφελεῖ με;
Ἐμοὶ γένοιτο πίνειν·
Πιόντι δ' οἶνον ἡδὺν
Ἐμοῖς φίλοις συνεῖναι,
Ἁπαλαῖσιν ἔν τε κοίταις
Τελεῖν τὰν Ἀφροδίταν.

ΚΔ.

Εἰς ἑαυτόν.

Ἐπειδὴ βροτὸς ἐτέχθην
Βιότου τρίβον ὁδεύειν,
Χρόνον ἔγνων ὃν παρῆλθον,
Ὃν δ' ἔχω δραμεῖν οὐκ οἶδα,
Μέθετέ με, φροντίδες·
Μηδέν μοι καὶ ὑμῖν ἔστω.

Sin comparare vitam
Mortalibus nefas eſt,
Quid conquerar, quid autem
Lamenta vana fundam?
Si namque certa morti
Me fata deſtinarunt,
Quis reſtat uſus auri?
Mero volo madere
Inter meos ſodales;
Dulcem volo puellam
Molli ſinu fovere.

XXIV.

De ſeipſo. E. AN.

Mortalis editus ſum
Vitæ ad viam terendam:
Quantumque jam peregi
Curſum ſcio, at latet me
Quantum viæ ſuperſit.
Tu vero abito, cura,

Πρὶν ἐμὲ φθάσῃ τὸ τέρμα,
Παίζω, γελάσω, χορεύσω
Μετὰ τοῦ καλοῦ Λυαίου.

ΚΕ.

Εἰς ἑαυτόν.

Ὅταν πίω τὸν οἶνον,
Εὕδουσιν αἱ μέριμναι.
Τί μοι πόνων, τί γόων μοι,
Τί μοι μέλει μεριμνῶν;
Θανεῖν με δεῖ, κᾂν μὴ θέλω.
Τί δὲ τὸν βίον πλανῶμαι;
Πίωμεν οὖν τὸν οἶνον
Τὸν τοῦ καλοῦ Λυαίου.
Σὺν τῷ δὲ πίνειν ἡμᾶς
Εὕδουσιν αἱ μέριμναι.

Κς.

Εἰς ἑαυτόν.

Ὅταν ὁ Βάκχος εἰσέλθῃ,

Mecum tibi nihil ſit:
Lætabor ante metam,
Jocabor, atque pulchro
Saltabo cum Lyæo.

XXV.

In ſeipſum. E. AN.

Mihi bibendo vinum
Ærumna dormit omnis.
Ad me quid attinet labor?
Quid cura, quidve luctus?
Mors me manet, nolim licet.
Vitæ juvat quid error?
Ergo merum bibamus,
Pulchri merum Lyæi;
Bibendo namque vinum
Ærumna dormit omnis.

XXVI.

De ſeipſo. H. ST.

Ut me ſubit Lyæus,

Εὕδουσιν αἱ μέριμναι·
Δοκῶν δ' ἔχειν τὰ Κροίσου
Θέλω καλῶς ἀείδειν·
Κισσοςεφὴς δὲ κεῖμαι,
Πατῶ δ' ἅπαντα θυμῷ.
Ὅπλιζ', ἐγὼ δὲ πίνω.
Φέρ' ἐμοὶ κύπελλον, ὦ παῖ·
Μεθύοντα γάρ με κεῖσθαι
Πολὺ κρεῖσσον, ἢ θανόντα.

ΚΖ.

Εἰς Διόνυσον.

Τȣ̃ Διὸς ὁ παῖς ὁ Βάκχος,
Ὁ λυσίφρων Λυαῖος
Ὅταν εἰς φρένας τὰς ἐμὰς
Ἐισέλθῃ μεθυδότας,
Διδάσκει με χορεύειν.
Ἔχω δὲ καὶ τι τερπνὸν
Ὁ τᾶς μέθας ἐραςάς·

Tunc cura dormit omnis,
Crœſumque ſperno præ me;
Dulcis repente noſtro
Erumpit ore cantus;
Hedera comaſque cingens,
Proculco mente cuncta.
Ad arma currat alter,
Ad pocula ipſe curram.
Puer, ocius ſcyphum da;
Nam præſtat ebrium me
Quam mortuum jacere.

XXVII.

De Baccho. E. AN.

Bacchus puer Tonantis,
Liber pater Lyæus,
Dum pectus it ſub imum,
Dulci rigans liquore,
Saltare perdocet me;
Nec vilis ebrioſo
Mea eſt mihi voluptas.

Μετὰ κρότων, μετ' ᾠδᾶς
Τέρπει με κ' Ἀφροδίτα,
Καὶ πάλιν θέλω χορεύειν.

ΚΗ.

Εἰς τὴν ἑαυτοῦ ἑταίραν.

Ἄγε, ζωγράφων ἄριστε,
Γράφε, ζωγράφων ἄριστε,
Ῥοδίης κοίρανε τέχνης,
Ἀπεοῦσαν, ὡς ἂν εἴπω,
Γράφε τὴν ἐμὴν ἑταίρην.
Γράφε μοι τρίχας τὸ πρῶτον
Ἁπαλάς τε καὶ μελαίνας·
Ὁ δὲ κηρὸς ἂν δύνηται,
Γράφε καὶ μύρου πνεούσας.
Γράφε δ' ἐξ ὅλης παρειῆς
Ὑπὸ πορφύραισι χαίταις
Ἐλεφάντινον μέτωπον.
Τὸ μεσόφρυον δὲ μή μοι

Cum carmine atque plaufu
Delectat alma Cypris:
Poft illa falto rurfus.

XXVIII.

De fua amica. H. ST.

Agedum, perite pictor,
Pinge, o perite pictor,
Rhodiæ magifter artis,
Abfentem ut edocebo,
Depingito mi amicam.
Depinge mollicellos
Primum nigrofque crines:
Si fert et ipfa cera,
Unguenta pinge olentes.
Nigroque fub capillo,
Genis ab ufque primis
Frontem fac illi eburnam.
Supercili nigrantes

Διάκοπτε, μήτε μίσγε·
Ἐχέτω δ' ὅπως ἐκείνη,
Τὸ λεληθότως σύνοφρυ
Βλεφάρων δ' ἴτυν κελαίνην.
Τὸ δὲ βλέμμα νῦν ἀληθῶς
Ἀπὸ τοῦ πυρὸς ποίησον,
Ἅμα γλαυκὸν, ὡς Ἀθήνης,
Ἅμα δ' ὑγρὸν, ὡς Κυθήρης.
Γράφε ῥῖνα καὶ παρειὰς,
Ῥόδα τῷ γάλακτι μίξας.
Γράφε χεῖλος, οἷα Πειθοῦς,
Προκαλούμενον φίλημα.
Τρυφεροῦ δ' ἔσω γενείου
Περὶ λυγδίνῳ τραχήλῳ
Χάριτες πέτοιντο πᾶσαι.
Στόλισον τὸ λοιπὸν αὐτὴν
Ὑποπορφύροισι πέπλοις·
Διαφαινέτω δὲ σαρκῶν

Diſcrimina nec arcus,
Confundito nec illos ;
Sed junge ſic ut anceps
Divortium relinquas,
Quale eſſe cernis ipſi.
At, ignis inſtar, ejus
Sit fulgurans ocellus ;
Et glaucus, ut Minervæ,
Et pætus, ut Cytheres.
Naſum genaſque pinge,
Lacti roſas remiſcens.
Pithûs ſit at labellum,
Quod oſculum laceſſat.
Intraque molle mentum,
Per colla lævia omnes
Sint Gratiæ volantes.
Ad ultimum nitente
Illa induatur oſtro.
Pateat tamen mihi pars
Cutis puſilla, totum
Qua corpus arguatur.

Ὀλίγον, τὸ σῶμ' ἐλέγχον.
Ἀπέχει· βλέπω γὰρ αὐτήν·
Τάχα κηρὲ καὶ λαλήσεις.

ΚΘ.

Εἰς Βάθυλλον.

Γράφε μοι Βάθυλλον οὕτω,
Τὸν ἑταῖρον, ὡς διδάσκω.
Λιπαρὰς κόμας ποίησον,
Τὰ μὲν ἔνδοθεν, μελαίνας,
Τὰ δ' ἐς ἄκρον, ἡλιώσας·
Ἕλικας δ' ἐλευθέρους μοι
Πλοκάμων, ἄτακτα συνθεὶς,
Ἄφες, ὡς θέλωσι, κεῖσθαι.
Ἁπαλὸν δὲ καὶ δροσῶδες
Στεφέτω μέτωπον ὀφρὺς
Κυανωτέρη δρακόντων.
Μέλαν ὄμμα γοργὸν ἔστω,
Κεκερασμένον γαλήνῃ,

Quid plura? eam ecce cerno.
Loquere, credo, cera.

XXIX.

De Bathyllo. H. ST.

Meos Bathyllum amores,
Ut te docebo, pinge.
Nitidas comas fac illi,
Intus quidem nigrantes,
At aureas ſuperne.
Dehinc inordinatos
Recolligens capillos,
Permitte lege nulla
Cincinnulos vagari.
Teneram piluſque frontem
Supercili coronet
Mage cærulus dracone.
Oculus niger ſit et trux,
Mixtus tamen ſereno:.
A Marte quod ſit illud:

Τὸ μὲν ἐξ Ἄρηος ἕλκον,
Τὸ δὲ, τῆς καλῆς Κυθήρης,
Ἵνα τις τὸ μὲν φοβῆται,
Τὸ δ᾽, ἀπ᾽ ἐλπίδος κρεμᾶται.
Ῥοδίνην δ᾽, ὁποῖα μῆλον,
Χνοΐην ποίει παρειήν·
Ἐρύθημα δ᾽ ὡς ἂν Ἀιδοῦς
Δύνασαι βαλεῖν, ποίησον.
Τὸ δὲ χεῖλος, οὐκέτ᾽ οἶδα
Τίνι μοι τρόπῳ ποιήσεις. . .
Ἁπαλὸν, γέμον τε Πειθοῦς.
Τὸ δὲ πᾶν, ὁ κηρὸς αὐτὸς
Ἐχέτω λαλῶν σιωπῇ.
Μεγὰ δὲ πρόσωπον ἔστω·
Τὸν Ἀδώνιδος παρελθὼν
Ἐλεφάντινος τράχηλος.
Μεταμάζιον δὲ ποίει
Διδύμας τε χεῖρας Ἑρμοῦ,

At hoc quod a Cythere;
Ut hinc timore et hinc ſpe
Suſpenſa mens vacillet.
Roſeum ſit utque pomum
Lanuginoſa mala.
Pudibundi et inſeratur
Quantum poteſt ruboris.
Verum haud ſcio labellis
Quæ detur apta forma.
Sint blanda, plena Suadæ;
Ut mixta ſit loquaci
Taciturnitate cera.
Sit latus ipſe vultus.
Eburna præteribam
Adonidea colla.
Habeat deinde pectus
Manuſque Mercuri ambas;
Femurque quale Pollux,
Ventremque ceu Lyæi.
Femurque molle ſupra,
Femur quod excit ignes.
Volo ſimplicem eſſe pubem,

Πολυδεύκεος δὲ μηρούς,
Διονυσίην δὲ νηδύν.
Ἁπαλῶν δ' ὕπερθε μηρῶν,
Μηρῶν τὸ πῦρ ἐχόντων,
Ἀφελῆ ποίησον αἰδῶ,
Παφίην θέλουσαν ἤδη.
Φθονερὴν ἔχεις δὲ τέχνην,
Ὅτι μὴ τὰ νῶτα δεῖξαι
Δύνασαι· τὰ δ' ἦν ἀμείνω.
Τί με δεῖ πόδας διδάσκειν;
Λάβε μισθὸν ὅσσον εἴπῃς.
Τοῦτον δὲ τὸν Ἀπόλλωνα
Καθελὼν, ποίει Βάθυλλον.
Ἢν δ' ἐς Σάμον ποτ' ἔλθῃς,
Γράφε Φοῖβον ἐκ Βαθύλλου.

Λ.

Εἰς Ἔρωτα.

Αἱ Μοῦσαι τὸν Ἔρωτα

Jam cogitantem amores.
Sed ars tua eſt maligna
Dare quæ vetat videnda,
Potiora terga multo.
Quid opus pedes ut addam?
Pretii quod exiges fer.
Sed Apollinem mihi iſtum
Refingito in Bathyllum.
Sin veneris Samum olim,
Fac Apollinem ex Bathyllo.

XXX.

De Amore. E. AN.

Muſæ florea vincla
Capto nuper Amori
Injecere coronas,
Vinctum dantque Decori.

Δήσασαι στεφάνοισι
Τῷ Κάλλει παρέδωκαν.
Καὶ νῦν ἡ Κυθέρεια
Ζητεῖ, λύτρα φέρουσα,
Λύσασθαι τὸν Ἔρωτα.
Κἂν λύσῃ δέ τις αὐτὸν,
Οὐκ ἔξεισι, μενεῖ δέ·
Δουλεύειν δεδίδακται.

ΛΑ.

Εἰς ἑαυτόν.

Ἄφες με τοῖς θεοῖσι
Πιεῖν. Πιεῖν ἀμυστὶ
Θέλω, θέλω μανῆναι.
Ἐμαίνετ' Ἀλκμαίων τε,
Χ' ὁ λευκόπους Ὀρέστης,
Τὰς μητέρας κτανόντες.
Ἐγὼ δὲ μηδένα κτὰς,
Πιὼν δ' ἐρυθρὸν οἶνον,

Nunc autem Cytherea
Quærens munera præfert
Queis abſolvat Amorem.
Sed quamvis redimatur,
Hærebit tamen illic,
Jam ſervire ſuetus.

XXXI.

De ſeipſo. H. ST.

Sine hauſtibus Lyæum,
Sine hauriam profundis.
Furere hunc volo furorem.
Furebat olim Oreſtes,
Furebat Alcmæonque,
Uterque matricida.
At nemine ipſe cæſo,
Leni mero ſed hauſto,
Furere hunc volo furorem.
Olim Hercules furebat,

Θέλω, θέλω μανῆναι.
Ἐμαίνεθ' Ἡρακλῆς πρὶν
Δεινὴν κλονῶν φαρέτρην,
Καὶ τόξον Ἰφίτειον.
Ἐμαίνετο πρὶν Αἴας
Μετ' ἀσπίδος κραδαίνων
Τὴν Ἕκτορος μάχαιραν.
Ἐγὼ δ' ἔχων κύπελλον
Καὶ στέμμα τοῦτο χαίταις,
Οὐ τόξον, οὐ μάχαιραν,
Θέλω, θέλω μανῆναι.

ΛΒ.

Εἰς τοὺς ἑαυτοῦ Ἔρωτας.

Εἰ φύλλα πάντα δένδρων
Ἐπίστασαι καλειπεῖν,
Εἰ κύματ' οἶδας εὑρεῖν
Τὰ τῆς ὅλης θαλάσσης,
Σὲ τῶν ἐμῶν Ἐρώτων

Quaſſans et Iphiteum
Arcum, et trucem pharetram.
Olim furebat Ajax,
Enſem Hectoris coruſcans,
Septemplicemque parmam:
At poculum ipſe geſtans,
Et has comis corollas,
Non ſpiculum nec enſem,
Furere hunc volo furorem.

XXXII.

In ſuos amores. E. AN.

Tu ſi referre quicquid
In omnibus viretis
Ubique frondis extat,
Aut perſequi recenſens
Maris vales arenas,

Μόνον ποιῶ λογιστήν.
Πρῶτον μὲν ἐξ Ἀθηνῶν
Ἔρωτας εἴκοσιν θὲς,
Καὶ πεντεκαίδεκ᾽ ἄλλους.
Ἔπειτα δ᾽ ἐκ Κορίνθου
Θὲς ὁρμαθοὺς Ἐρώτων·
Ἀχαΐης γάρ ἐστιν,
Ὅπου καλαὶ γυναῖκες.
Τίθει δὲ Λεσβίους μοι,
Καὶ μέχρι τῶν Ἰώνων,
Καὶ Καρίης Ῥόδου τε,
Δισχιλίους Ἔρωτας.---
Τί φῄς;--- Ἀεὶ κηρῷ θές.
Οὔπω Σύρους ἔλεξα,
Οὔπω πόθους Κανώβου,
Οὐ τῆς ἅπαντ᾽ ἐχούσης
Κρήτης, ὅπου πόλεσσιν
Ἔρως ἐποργιάζει.

Solus velim meorum
Logiſta ſis amorum.
Primum quidem ex Athenis
Viginti habes amores:
His quindecim ſed adde.
Deinde pone amorum
Agmen Corinthiorum,
(Achaiæ eſt Corinthus,
Formoſæ ubi puellæ.)
Jam Leſbios referto
Nobis, Ionas uſque,
Et Cariam Rhodumque:
Bis mille ſunt amores.
Tantumne, ais, amaſti?
Nondum Syros amores,
Nondum tenes Canobi,
Cretæve, cujus urbes
Furens habet Cupido.
Quid vis tibi referri
Omnes ſupra Gadiras

Τί σοι θέλεις ἀριθμῶ
Καὶ τοὺς Γαδείρων ἐκτὸς,
Τοὺς Βακτρίων τε κ' Ἰνδῶν,
Ψυχῆς ἐμῆς Ἔρωτας;

ΛΓ.

Εἰς χελιδόνα.

Σὺ μὲν, φίλη χελιδὼν,
Ἐτησίη μολοῦσα,
Θέρει πλέκεις καλιήν·
Χειμῶνι δ' εἶς ἄφαντος
Ἢ Νεῖλον, ἢ 'πὶ Μέμφιν.
Ἔρως δ' ἀεὶ πλέκει μευ
Ἐν καρδίῃ καλιήν.
Πόθος δ' ὁ μὲν πτεροῦται,
Ὁ δ' ὠὸν ἐστιν ἀκμὴν,
Ὁ δ' ἡμίλεπτος ἤδη.
Βοὴ δὲ γίνετ' αἰεὶ
Κεχηνότων νεοττῶν.

Et Bactrios et Indos
Cordis mei calores?

XXXIII.

Ad hirundinem. H. ST.

Hirundo, tu quidem annis
Is ſingulis rediſque;
Tu, æſtate nidulata,
Bruma ſoles latere,
Nilum petenſve Memphin.
Amor ſed uſque noſtro
In corde nidulatur:
Pullus fit unus, ales;
Hic conditur ſub ovo,
Hic ſemicluſus extat.
Hiantiumque jugis
Pipitus eſt Amorum:
Aluntque pipiones
Majuſculi minores;

Ἐρωτιδεῖς δὲ μικροὺς
Οἱ μείζονες τρέφουσιν·
Οἱ δὲ τραφέντες εὐθὺς
Πάλιν κύουσιν ἄλλους.
Τί μῆχος οὖν γένηται;
Οὐ γὰρ σθένω τοσούτους
Ἔρωτας ἐκσοβῆσαι.

ΛΔ.

Εἰς κόρην.

Μή με φύγῃς, ὁρῶσα
Τὰν πολιὰν ἔθειραν·
Μηδ᾽, ὅτι σοι πάρεστιν
Ἀκμαῖον ἄνθος ὥρας,
Τἀμὰ φίλτρα διώξῃς.
Ὅρα κἀν στεφάνοισιν
Ὅπως πρέπει τὰ λευκὰ
Ῥόδοις κρίνα πλακέντα.

Hi rurſus educati
Gignunt novos et ipſi.
Quid me, quid ergo fiet?
Nam turba tanta Amorum eſt,
Ut jam tot una lingua
Non poſſit explicare.

XXXIV.

De puella. H. ST.

Ne, conſpicata canos,
Me fugeris, puella.
Nec, quod tibi color ſit
Roſæ prior colore,
Spernas meos amores.
En aſpice, in corollis,
Roſis decenter alba
Ut lilia implicentur.

ΛΕ.

Εἰς Εὐρώπης εἰκόνα.

Ὁ ταῦρος οὗτος, ὦ παῖ,
Ζεύς μοι δοκεῖ τις εἶναι.
Φέρει γὰρ ἀμφὶ νώτοις
Σιδωνίην γυναῖκα·
Περᾷ δὲ πόντον εὐρὺν,
Τέμνει τε κῦμα χηλαῖς.
Οὐκ ἂν δὲ ταῦρος ἄλλος
Ἐξ ἀγέλης ἐλασθεὶς
Ἔπλευσε τὴν θάλασσαν,
Εἰ μὴ μόνος γ᾽ ἐκεῖνος.

Λϛ.

Εἰς τὸ ἀνειμένως ζῆν.

Τί με τοὺς νόμους διδάσκεις,
Καὶ ῥητόρων ἀνάγκας;
Τί δ᾽ ἐμοὶ λόγων τοσούτων
Τῶν μηδὲν ὠφελούντων;

XXXV.

De Europa. H. ST.

Hunc, o puella, taurum
Jovem puto eſſe quemdam;
Nam vectat ecce dorſo
Sidoniam puellam,
Vaſtumque tranat æquor,
Et findit ungula undas.
At nullus uſpiam grex,
Abactus unde taurus
Tranet, niſi ille, pontum.

XXXVI

Bene vivendum. E. AN.

Quid rhetorum doces me
Scita et neceſſitates?
Orationibus quid
Opus mihi tot iſtis,
Quibus nihil juvamur?

Μᾶλλον δίδασκε πίνειν
Ἁπαλὸν πόμα Λυαίου·
Μᾶλλον δίδασκε παίζειν
Μετὰ χρυσῆς Ἀφροδίτης.
Πολιαὶ κάρα στέφουσι.
Δὸς ὕδωρ, βάλ' οἶνον, ὦ παῖ,
Τὴν ψυχήν μου κάρωσον.
Βραχὺ μὴ ζῶντα καλύπτεις·
Ὁ θανὼν οὐκ ἐπιθυμεῖ.

ΛΖ.

Εἰς τὸ ἔαρ.

Ἴδε πῶς ἔαρος φανέντος
Χάριτες ῥόδα βρύουσιν.
Ἴδε πῶς κῦμα θαλάσσης
Ἁπαλύνεται γαλήνῃ.
Ἴδε πῶς νῆσσα κολυμβᾷ.
Ἴδε πῶς γέρανος ὁδεύει.
Ἀφελῶς δ' ἔλαμψε Τιτάν·

Potare me doceto
Mollis merum Lyæi:
Quin aurea doce me
Ridere cum Cythere.
Cani caput coronant,
Aquam, puer, dato jam,
Profunditoque vinum;
Mentem mihi ſopito:
Nam mortuum teges me
Brevi mora. Sepultus
Nil concupiſcit unquam.

XXXVII.

De vere. H. ST.

Viden' ut ineunte vere
Charites roſis abundant?
Viden' ut jam æquoris unda
Poſuit ſuum furorem?
Viden' ut jam nat anas, et
Remeare ut incipiat grus,
Pure ut refulgeat ſol,

Νεφελῶν σκιαὶ δονοῦνται·
Τὰ βροτῶν δ' ἔλαμψεν ἔργα.
(Καρποῖσι γαῖα προκύπτει)
Καρπὸς ἐλαίας προκύπτει,
Βρομίου στέφεται τὸ νᾶμα.
Κατὰ φύλλον, κατὰ κλῶνα
Καθελὼν ἤνθισε καρπός.

ΛΗ.

Εἰς ἑαυτόν.

Ἐγὼ γέρων μέν εἰμι,
Νέων πλέον δὲ πίνω,
Κᾂν δεήσῃ με χορεύειν,
Σκῆπτρον ἔχω τὸν ἀσκόν·
Ὁ νάρθηξ δ' οὐδέν ἐστιν.
Ὁ μὲν θέλων μάχεσθαι
Παρέστω καὶ μαχέσθω.
Ἐμοὶ κύπελλον, ὦ παῖ,
Μελιχρὸν οἶνον ἡδὺν

Nebulæ ſugentur atræ?
Hominum nitent labores;
Tellus parturit herbas;
Termes olivæ exerit ſe;
Bromii redimitur humor;
Fronde ſub omni folioque
Fructus floret opimus.

XXXVIII.

In ſeipſum. E. AN.

Ego jam ſenex quidem ſum;
Juvenes tamen bibendo
Supero, choroſque ducens:
Baculi loco gero utrem;
Ferulæ nec ullus uſus.
Cupiaſne dimicare?
Veniaſque, dimiceſque.
Mihi melle dulciorem,
Puer, affer huc Lyæum.

Ἐγκεράσας, φόρησον.
Ἐγὼ γέρων μὲν εἰμι,
Σειληνὸν ἐν μέσοισι
Μιμούμενος χορεύσω.

ΛΘ.

Εἰς ἑαυτόν.

Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Τότ' ἐμεῦ ἰανθὲν ἦτορ
Μούσας λιγαίνειν ἄρχεται.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Ἀπορίπτονται μέριμναι,
Πολυφρόντιδές τε βουλαὶ
Ἐς ἁλικτύπους ἀήτας.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Λυσιπήμων τότε Βάκχος
Πολυανθέσιν μ' ἐν ὥραις
Δονέει, μέθῃ γανώσας.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Στεφάνους ἄνθεσι πλέξας,

Ego jam ſenex quidem ſum ;
Silenum at inter omnes
Imitabor in choreis.

XXXIX.

In ſeipſum. E. AN.

Ubi ſuave poto vinum,
Animo repente læto
Celebro novem Camœnas.
Ubi ſuave poto vinum,
Subito moleſta cura et
Operoſa conſilì vis
Rapidas eunt in auras.
Ubi ſuave poto vinum,
Subito, jocos reſolvens,
Roſeas me agit per auras
Hilarem ebriumque Bacchus.
Ubi ſuave poto vinum,

Ἐπιθεὶς δὲ τῷ καρήνῳ,
Μέλπω βιότου γαλήνην.
Ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,
Μύρῳ εὐώδεϊ τέγξας
Δέμας, ἀγκάλαις δὲ κούρην
Κατέχων, Κύπριν ἀείδω.
Ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,
Ὑπὸ κυρτοῖσι κυπέλλοις
Τὸν ἐμὸν νόον ἁπλώσας,
Θιάσῳ τέρπομαι κούρων.
Ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,
Τόδ᾽ ἐμοὶ μόνον τὸ κέρδος,
Τόδ᾽ ἐγὼ λαβὼν ἀποίσω.
Τὸ θανεῖν γὰρ μετὰ πάντα.

Μ.

Εἰς Ἔρωτα.

Ἔρως ποτ᾽ ἐν ῥόδοισι
Κοιμωμένην μέλιτταν

Simul indui coronam
Manibus meis paratam,
Varioque flore textam,
Placidam celebro vitam.
Ubi ſuave poto vinum,
Liquido madens odore,
Lepidam et tenens puellam,
Venerem cano jocoſam.
Ubi ſuave poto vinum,
Animum ut meum explicavi
Cyathi in modum repandi,
Thiaſo frequente lætor.
Ubi ſuave poto vinum,
Proprium hoc meum eſt lucellum,
Et id auferens abibo;
Si quidem mori ſtat omnes.

XL.

De Amore. H. ST.

Inter roſas Cupido
Apiculam jacentem

Οὐκ εἶδεν, ἀλλ' ἐτρώθη
Τὸν δάκτυλον. Παλάξας
Τὰς χεῖρας, ὠλόλυξε·
Δραμὼν δὲ καὶ πετασθεὶς
Πρὸς τὴν καλὴν Κυθήρην,
Ὄλωλα, μᾶτερ, εἶπεν,
Ὄλωλα, κἀποθνήσκω.
Ὄφις μ' ἔτυψε μικρὸς,
Πτερωτὸς, ὃν καλοῦσι
Μέλιτταν οἱ γεωργοί.
Ἁ δ' εἶπεν· εἰ τὸ κέντρον
Πονεῖ τὸ τᾶς μελίττας,
Πόσον δοκεῖς πονοῦσιν,
Ἔρως, ὅσους σὺ βάλλεις;

ΜΑ.

Εἰς συμπόσιον.

Ἱλαροὶ πίωμεν οἶνον,
Ἀναμέλψομεν δὲ Βάκχον,

Non vidit, eſtque punctus.
Manumque ſauciatus,
Mox ejulare cœpit.
Et curſitans volanſque
Ad candidam Cytheren,
Heu! occidi, occidi, inquit,
Vitamque, mater, efflo.
En me minuta ſerpens
Pennata vulneravit,
Apem vocant coloni.
Tunc illa: Apis ſi acumen
Tantum facit dolorem,
Quantum dolere credis
Quos tu feris, Cupido?

XLI.

In convivium. E. AN.

Hilari merum bibentes
Bromium patrem canamus.

Τὸν ἐφευρέταν χορείας,
Τὸν ὅλας ποθοῦντα μολπὰς,
Τὸν ὁμότροπον Ἔρωτι,
Τὸν ἐρώμενον Κυθήρης·
Δι' ὃν ἡ Μέθη λοχεύθη,
Δι' ὃν ἡ Χάρις ἐτέχθη,
Δι' ὃν ἀμπαύεται Λύπα,
Δι' ὃν εὐνάζετ' Ἀνία.
Τὸ μὲν οὖν πόμα κερασθὲν
Ἁπαλοὶ φέρουσι παῖδες·
Τὸ δ' ἄχος πέφευγε μιχθὲν
Ἀνεμοτρόφῳ θυέλλῃ.
Τὸ μὲν οὖν πόμα λάβωμεν,
Τὰς δὲ φροντίδας μεθῶμεν.
Τί γάρ ἐστι σοὶ τὸ κέρδος
Ὀδυνωμένῳ μερίμναις;
Πόθεν οἴδαμεν τὸ μέλλον;
Ὁ βίος βροτοῖς ἄδηλος.

Bromius chori repertor:
Bromium juvant canentes,
Bromium juvant jocantes.
Bromius Cupidini par.
Bromio calet Cythere,
Temulentia et per ipſum
Genita eſt, Chariſque pulchra;
Per eum dolor ſopitur,
Per eum quieſcit angor.
Ubi poculum quietum
Pueri ferunt venuſti,
Fugit uſque cura mixta
Rapidis Noti procellis.
Oneremur ergo vino,
Cura et levemur omni.
Tibi quid dolore prodeſt
Et confici querelis?
Quis enim futura novit?
Sua cuique vita cæca eſt.
Juvat uvidum Lyæo

Μεθύων θέλω χορεύειν,
Μεμυρισμένος δὲ παίζειν
. . . .
Μετὰ καὶ καλῶν γυναικῶν.
Μελέτω δὲ τοῖς θέλουσιν
Ὅσον ἐστὶν ἐν μερίμναις.
Ἱλαροὶ πίωμεν οἶνον,
Ἀναμέλψομεν δὲ Βάκχον.

ΜΒ.

Εἰς ἑαυτόν.

Ποθέω μὲν Διονύσου
Φιλοπαίγμονος χορείας·
Φιλέω δ' ὅταν ἐφήβου
Μετὰ συμπότου λυρίζω.
Στεφανίσκους δ' ὑακίνθων
Κροτάφοισιν ἀμφιπλέξας,
Μετὰ παρθένων ἀθύρειν
Φιλέω μάλιστα πάντων.

Agitare me choreas,
Juvat et fragrantem olivo
Decente cum puella
Hilare vacare ludo.
Quod adeſt moleſtiarum
Sibi qui volent habento,
Hilari merum bibentes
Bromium patrem canamus.

XLII.

Ad ſeipſum. E. AN.

Cupio quidem jocoſi
Bromii choros requirens,
Amo vero cum juvencis
Fidibus canens libenſque:
Hyacinthinis corollis
Caput implicatus, ut cum
Teneris jocer puellis,
Amo maxime inter omnes.

Φθόνον οὐκ οἶδ' ἐμὸν ἦτορ,
Φθόνον οὐκ οἶδα δαΐκτην.
Φιλολοιδόροιο γλώττης
Φεύγω βέλεμνα κουφά.
Στυγέω μάχας παροίνους
Πολυκώμους κατὰ δαῖτας,
Νεοθηλέσ' ἅμα κούραις
Ὑπὸ βαρβίτῳ χορεύων.
Βίον ἥσυχον φέρωμεν.

ΜΓ.

Εἰς τέττιγα.

Μακαρίζομέν σε, τέττιξ,
Ὅτε δενδρέων ἐπ' ἄκρων
Ὀλίγην δρόσον πεπωκὼς,
Βασιλεὺς ὅπως, ἀείδεις.
Σὰ γάρ ἐστι κεῖνα πάντα,
Χ' ὁπόσα βλέπεις ἐν ἀγροῖς,
Χ' ὁπόσα φέρουσιν ὕλαι.

Nihil invidere poſſum,
Neque noſſe contigit mî
Livorem adhuc malignum.
Leviora tela linguæ
Fugio timens procacis.
Fugio execrorque ſemper
Epulis citata feſtis
Genialibuſque bella:
Ubi maxime choreas
Vernante cum puella
Cithara ſonante plaudo.
Juvat otium et quies me.

XLIII.

De cicada. H. ST.

O ter quaterque felix
Cicada, quæ ſupremis
In arborum viretis,
Roris parum ut bibiſti,
Cantare dulce gaudes,
Reginam agens potentem.
Quodcumque conſpicaris,

Σὺ δὲ φίλιος γεωργῶν,
Ἀπὸ μηδενός τι βλάπτων·
Σὺ δὲ τίμιος βροτοῖσι,
Θέρεος γλυκὺς προφήτης.
Φιλέουσι μέν σε Μοῦσαι,
Φιλέει δὲ Φοῖβος αὐτὸς,
Λιγυρὴν δ' ἔδωκεν οἴμην.
Τὸ δὲ γῆρας οὔ σε τείρει,
Σοφὲ, γηγενὴς, φίλυμνε,
Ἀπαθὴς, ἀναιμόσαρκε·
Σχεδὸν εἶ θεοῖς ὅμοιος.

ΜΔ.

Εἰς τὸ ἑαυτοῦ ὄνειρον.

Ἐδόκουν ὄναρ τροχάζειν,
Πτέρυγας φέρων ἐπ' ὤμων·
Ὁ δ' Ἔρως ἔχων μόλυβδον
Περὶ τοῖς καλοῖς ποδίσκοις
Ἐδίωκε καὶ κίχανε.

Tuum eſt, quod arva gignunt,
Quod ſylva cumque profert.
Te amplectitur colonus,
Quod ejus in labores
Injurioſa non ſis.
Colunt, cicada, te omnes,
Divina quod puteris
Æſtatis imminentis.
Te diligunt Camœnæ,
Te diligitque Phœbus,
Vocemque dat canoram.
Te non ſenecta carpit,
Feſtiva, terræ alumna,
Cantus amica, et omnis
Mali et doloris expers,
Ulla nec aucta carne,
Nec aucta ſanguine ullo:
Ipſis abes parum a diis.

XLIV.

De ſuo ſomnio. H. ST.

Videbar in quiete
Huc curſitare et illuc,

Τί θέλει τόδ' ὄναρ εἶναι;
Δοκέω δ' ἔσωσε πολλοῖς
Ἐν Ἔρωσί με πλακέντα
Διολισθανεῖν μὲν ἄλλοις,
Ἑνὶ τῷ δὲ συνδεθῆναι.

ΜΕ.

Εἰς τὰ τοῦ Ἔρωτος βέλη.

Ὁ ἀνὴρ ὁ τῆς Κυθήρης
Παρὰ Λημνίαις καμίνοις
Τὰ βέλη τὰ τῶν Ἐρώτων
Ἐποίει, λαβὼν σίδηρον.
Ἀκίδας δ' ἔβαπτε Κύπρις,
Μέλι τὸ γλυκὺ λαβοῦσα·
Ὁ δ' Ἔρως χολὴν ἔμισγεν.
Ὁ δ' Ἄρης ποτ' ἐξ ἀϋτῆς
Στιβαρὸν δόρυ κραδαίνων
Βέλος ηὐτέλιζ' Ἔρωτος·
Ὁ δ' Ἔρως, τόδ' ἐστὶν, εἶπε,

Humeros amictus alis;
Amor ſed impeditus
Plumbo pedes tenellos,
Me perſequens prehendit.
Sibi ſomnium quid hoc vult?
Mihi quidem videtur,
Me plurimos amores
Fugiſſe jam implicatum,
Hærere in hoc ſed uno.

XLV.

In Cupidinis ſagittas. H. ST.

Veneris maritus olim
Ad Lemnias caminos
Amoribus ſagittas
Dum cudit ære ſumpto,
Hamoſque melle dulci
Dum temperat Cythere,
Miſcetque fel Cupido;
Mars, prælio revertens,
Quatiebat horridam haſtam,
Tela elevans Amoris.

Βαρύ· πειράσας νοήσεις.
Ἔλαβεν βέλεμνον Ἄρης,
Ὑπεμειδίασε Κύπρις.
Ὁ δ' Ἄρης ἀνασϊενάξας,
Βαρὺ, φησίν· ἆρον αὐτό.
Ὁ δ' Ἔρως, ἔχ' αὐτὸ, φησί.

Μϛ.

Εἰς Ἔρωϊα.

Χαλεπὸν τὸ μὴ φιλῆσαι·
Χαλεπὸν δὲ καὶ φιλῆσαι·
Χαλεπώτερον δὲ πάνϊων
Ἀποϊυγχάνειν φιλοῦνϊα.
Γένος, οὐδὲν εἰς Ἔρωϊα·
Σοφίη, τρόπος παϊεῖται·
Μόνον ἄργυρον βλέπουσιν.
Ἀπόλοιϊο πρῶτος αὐτὸς,
Ὁ τὸν ἄργυρον φιλήσας.
Διὰ τοῦτον οὐκ ἀδελφὸς,

At Amor,' Grave iſtud, inquit:
Fac, ſi libet, periclum.
Mars accipit ſagittam;
Venuſque riſit. Ille,
Vehementer ingemiſcens,
Gravis, inquit; aufer illam.
Tibi ſerva, ait Cupido.

XLVI.

In Amorem. H. ST.

Et non amare durum eſt,
Et eſt amare durum:
Duriſſima omnium res
Amare, nec potiri.
In amore negliguntur
Imagines avorum,
Mores jacent et artes;
Solum intuentur aurum.
Pereat male expetendi
Qui primus auctor auri!

Διὰ τοῦτον οὐ τοκῆες·
Πόλεμοι, φόνοι δι' αὐτόν.
Τὸ δὲ χεῖρον, ὀλλύμεσθα
Διὰ τοῦτον οἱ φιλοῦντες.

ΜΖ.

Εἰς γέροντα.

Φιλῶ γέροντα τερπνὸν,
Φιλῶ νέον χορευτάν.
Γέρων δ' ὅταν χορεύῃ
Τρίχας γέρων μὲν ἐστι,
Τὰς δὲ φρένας νεάζει.

ΜΗ.

Εἰς Διόνυσον.

Ὁ τὸν ἐν πόνοις ἀτειρῆ
Νέον, ἐν πόθοις ἀταρϐῆ,
Καλὸν ἐν πότοις χορευτὴν
Τελέων θεὸς κατῆλθεν,
Ἁπαλὸν βροτοῖσι φίλτρον,

Hinc cura nulla fratris,
Supernuntur hinc parentes,
Hinc et cruenta bella.
Quod maximum malorum eſt,
Quicumque amamus, omnes
Per hoc perimus unum.

XLVII.

In ſenem. H. ST.

Juvenis ſeniſque feſtas
Video lubens choreas.
Senex at in choreis,
Senex quidem eſt capillis,
Juvenis ſed uſque mente eſt.

XLVIII.

In Bacchum. E. AN.

Juvenem in ſcyphis valentem,
Minime in ſcyphis paventem,
Lepidum in ſcyphis choreuten
Faciens deus revenit,

Πότον ἄστονον κομίζων,
Γόνον ἀμπέλου, τὸν οἶνον,
Πεπεδημένον ὀπώραις
Ἐπὶ κλημάτων φυλάττων,
Ἵν᾽, ὅταν τάμωσι βότρυν,
Ἄνοσοι μένωσι πάντες,
Ἄνοσοι δέμας θεητὸν,
Ἄνοσοι γλυκύν τε θυμὸν,
Ἐς ἔτους φανέντος ἄλλου.

ΜΘ.

Εἰς δίσκον ἔχοντα Ἀφροδίτην.

Ἄρα τις τόρευσε πόντον,
Ἄρα τις μανεῖσα τέχνα
Ἀνέχευε κῦμα δίσκῳ,
Ἐπὶ νῶτα τῆς θαλάσσης;
Ἄρα τις ὑπὲρ θάλασσαν
Ἁπαλὰν χάραξε Κύπριν,
Νόος ἐς θεοὺς ἀερθεὶς,

Homini meros amores,
Hilarum ferens temetum,
Genitrice vite natum
Acinis in ebriosis
Cohibens adhuc revinctum:
Ut ubi sit uva secta,
Vigeamus absque morbo,
Vigeamus usque membra,
Vigeamus usque mentem;
Redeunte donec anno
Redeat novus Lyæus.

XLIX.

De disco habente Venerem. H. ST.

Mare sensit ergo cælum,
Aliquo artis et furore
Coalescit unda disco,
Pelagi super profunda?
Alicujus ad deos mens
Penetravit ergo, sculpens
Teneramque candidamque

Μακάρων φύσιος ἀρχάν;
Ὁ δέ νιν ἔδειξε γυμνὰν,
Ὅσα μὴ θέμις δ' ὁρᾶσθαι,
Μόνα κύμασιν καλύπτει.
Ἀλαλημένη δ' ἐπ' αὐτὰ,
Βρύον ὡς ὕπερθε λευκὸν
Ἁπαλοχρόους γαλήνας,
Δέμας εἰς πλόον φέρουσα,
Ῥόθιον πάροιθεν ἕλκει.
Ῥοδέων δ' ὕπερθε μαζῶν,
Ἁπαλῆς ἔνερθε δειρῆς
Μέγα κῦμα πρῶτα τέμνει.
Μέσον αὔλακος δὲ Κύπρις,
Κρίνον ὡς ἴοις ἑλιχθὲν
Διαφαίνεται γαλήνας.
Ὑπὲρ ἀργύρῳ δ' ὀχοῦνται
Ἐπὶ δελφῖσιν χορευταῖς
Δολερὸν νόον μερόπων

Venerem, deûm parentem?
Oculis ſed ille noſtris
Sine veſte dat videndam:
Tegit unda, nilque prorſus
Niſi quod nefas videri.
Vagabunda jamque littus
Superextat alga tanquam
Maris in ſerenitate,
Dea nuda ſic pererrat.
Super et natare quum vult,
Trahit ante corpus undam;
Secat inde fluctus ingens
Roſeis deæ quod unum
Supereminet papillis,
Tenero ſubeſtque collo.
Medio deinde ſulco,
Quaſi lilium implicatum
Violis, renidet illa
Placidum maris per æquor.
Choreis frequenſque delphin
Ibi marmor eſt fatigans,
Humeris vehens Amorem
Pariter, Cupidinemque,

Ἔρως, Ἵμερος, γελῶντες·
Χορὸς ἰχθύων δὲ κυρτὸς
Ἐπὶ κυμάτων κυβιστῶν
Παφιὴς τὸ σῶμα παίζει,
Ἵνα νήχεται γελῶσα.

Ν.

Ἐπιλήνιος ᾠδή.

Τὸν μελανόχρωτα βότρυν
Ταλάροις φέρουσιν ἄνδρες
Μετὰ παρθένων ἐπ' ὤμων·
Κατὰ ληνὸν δὲ βαλόντες
Μόνον ἄρσενες πατοῦσι
Σταφυλὴν, λύοντες οἶνον,
Μέγα τὸν θεὸν κροτοῦντες
Ἐπιληνίοισιν ὕμνοις,
Ἐρατὸν πίθοις ὁρῶντες
Νέον ἐς ζέοντα Βάκχον,
Ὃν ὅταν πίῃ γεραιὸς,

Quatientem utrumque riſu
Juvenile cor doloſo.
Salit ipſe piſcium grex
Ibi cærulas per undas,
Paphiæque luſitando
Lateri natantis hæret.

L.

De vino. E. AN.

Calathis nigros racemos
Juvenes viri reſectos
Humero ſuper valente
Lepidæ et ferunt puellæ;
Sed ubi in lacum dederunt,
Referunt pedem puellæ,
Maribus premuntur uvæ.
Pedibus merum reſolvunt
Bromium viri canentes;
Lacus et repletur hymnis.
Juvat hos videre dulcem
Doliis novum Lyæum,
Ubi fervet ille, apertis.
Simul hunc ſenes biberunt,

Τρομεροῖς ποσὶν χορεύει
Πολιὰς τρίχας τινάσσων.
Ὁ δὲ παρθένον λοχήσας
Ἐρατὸς νέος μεθυσθεὶς,
Ἁπαλὸν δέμας χυθεῖσαν
Σκιερῶν ὕπερθε φύλλων,
Βεβαρημένην ἐς ὕπνον,
Ἐς ἔρωτ᾽ ἄωρα θέλγει,
Προδότιν γάμων γενέσθαι·
Ὁ δὲ μὴ λόγοισι πείθων
Τότε μὴ θέλουσαν ἄγχει.
Μετὰ γὰρ νέων ὁ Βάκχος
Μεθύων ἄτακτα παίζει.

ΝΑ.

Εἰς ῥόδον.

Στεφανηφόρου μετ᾽ ἦρος
Μέλπομαι ῥόδον τέρεινον·
Σὺν, ἑταίρα, δεῖ μέλπειν.

Tremulis choros celebrant
Pedibus, vibrantque canos.
Speculatus at puellam
Juvenis decens venuſtam,
Petit abditus ſub umbra
Tenerum in latus jacentem,
Graviterque conſopitam.
Ibi eam Cupido mulcens
Suadet facem malignus
Violare nuptialem.
Juvenem tamen repellit
Mulier, nec audit illum.
At ubi nihil valere
Sua ſentit ille verba,
Subigit pati miſellam.
Siquidem ebrius Lyæus
Petulante cum juventa
Ita ludit inſolenter.

LI.

De roſa. H. ST.

Cum vere patre florum
Socianda laus roſarum.

Τόδε γὰρ θεῶν ἄημα,
Τόδε καὶ βροτῶν χάρημα,
Χάρισίν τ' ἄγαλμ' ἐν ὥραις
Πολυανθέων Ἐρώτων,
Ἀφροδίσιόν τ' ἄθυρμα.
Τόδε καὶ μέλημα μύθοις,
Χαρίεν φυτόν τε Μουσῶν.
Γλυκὺ καὶ ποιοῦντι πεῖραν
Ἐν ἀκανθίναις ἀταρποῖς·
Γλυκὺ δ' αὖ λαβόντι θάλπειν
Μαλακαῖσι χερσὶ, κούφως
Προσάγοντ' Ἔρωτος ἄνθος.
Ὡς τὸ φῶς τόδ' αὐτὸ τερπνὸν
Θαλίαις τε καὶ τραπέζαις,
Διονυσίαις θ' ἑορταῖς.
Τί δ' ἄνευ ῥόδου γένοιτ' ἄν;
Ῥοδοδάκτυλος μὲν Ἠὼς,
Ῥοδοπήχεες δὲ Νύμφαι·

Roſa flos odorque divum:
Hominum roſa eſt voluptas.
Decus illa Gratiarum
Florente Amoris hora.
Roſa ſuavium Diones,
Roſa opus laborque vatum,
Et amica planta Muſis.
Eſt grata colligenti,
Licet ante ſpina pungat
Mordacibus rubetis.
Eſt grata eam foventi
Manu ſubinde molli.
Eadem decens coronis,
Et expetita menſis,
Solennibuſque Bacchi.
Roſis quid abſque fiat?
Aurora nonne fertur
Roſea manu decora?
Roſeiſque nonne Nymphæ
Spectabiles lacertis?

Ῥοδόχρους δὲ κ' Ἀφροδίτα
Παρὰ τῶν Σοφῶν καλεῖται.
Τόδε καὶ νόσοισιν ἀρκεῖ,
Τόδε καὶ νεκροῖς ἀμύνει,
Τόδε καὶ χρόνον βιᾶται·
Χαρίεν ῥόδων δὲ γῆρας
Νεότητος ἔσχεν ὀδμήν.
Φέρε δὴ φύσιν λέγωμεν.
Χαροπῆς ὅτ' ἐκ θαλάσσης
Δεδροσωμένην Κυθήρην
Ἐλόχευε πόντος ἀφρῷ,
Πολεμόκλονόν τ' Ἀθήνην
Κορυφῆς ἐδείκνυε Ζεὺς,
Φοβερὴν θέαν Ὀλύμπῳ,
Τότε καὶ ῥόδων ἀγητῶν
Νέον ἔρνος ἤνθισε Χθὼν,
Πολυδαίδαλον λόχευμα.
Μακάρων θεῶν δ' ὅμιλος,

Roſicolor ipſa Cypris
Vocitata nonne doctis?
Quid plura? nonne multis
Medicina certa morbis?
Defendit hæc ſepultos,
Hæc tempori reſiſtit:
Hujus ſenecta ſuavem
Servat juventæ odorem.
Sed quæ roſis origo?
Quum cærulis ab undis
Sale roſcidam Cytheren
Spuma edidit profundi,
Joviſque quum Minerva
E vertice exilivit
Armata ſcuto et haſta;
Tunc nobilis roſarum
Stirps edita eſt beato
Terræ ſinu, venuſtus
Miræque fœtus artis.
Superumque turba divum,
Roſa ut eſſet, irrigantes

Ῥόδον ὡς γένοιτο, νέκταρ
Ἐπιτέγξας, ἀνέτειλεν
Ἀγέρωχον ἐξ ἀκάνθης
Φυτὸν ἄμβροτον Λυαίου·

ΝΒ.

Εἰς ἑαυτόν.

Ὅτ' ἐγὼ νέων ὅμιλον
Ἐσορῶ, πάρεστιν ἥβα.
Τότε δὴ, τότ' ἐς χορείην
Ὁ γέρων ἐγὼ πτεροῦμαι.
Περίμεινόν με, Κυβήβα,
Παράδος, θέλω στέφεσθαι.
Πολιὸν ἑκὰς δὲ γῆρας·
Νέος ἐν νέοις χορεύσω.
Διονυσίης δ' ἐμοί τις
Φερέτω ῥόον ἀπ' ὀπώρης,
Ἵν' ἴδῃ γέροντος ἀλκὴν
Δεδαηκότος μὲν εἰπεῖν,

Nectar ſuum, e rubeto
Inſigne procrearunt
Germen patris Lyæi.

LII.

De ſeipſo. H. ST.

Juvenum frequens ut agmen
Tueor, repuberaſco.
Ego tum, licet ſenex ſim,
Alacer volo ad choreas.
Juveneſce, quæſo, mecum;
Fer et huc roſas; corollis
Caput implicem libenter:
Procul at procul ſenectus.
Juvenes apud jocoſis
Juvenabor in choreis.
Propere mihi Lyæi
Ades afferens liquorem.

Δεδαηκότος δὲ πίνειν,
Χαριέντως τε μανῆναι.

ΝΓ.

Εἰς ἐρῶντας.

Ἐπ' ἰσχίοις μὲν ἵπποι
Πυρὸς χάραγμ' ἔχουσι·
Καὶ Παρθίους τις ἄνδρας
Ἐγνώρισεν τιάραις.
Ἐγὼ δὲ τοὺς ἐρῶντας
Ἰδὼν ἐπίσταμ' εὐθύς.
Ἔχουσι γάρ τι λεπτὸν
Ψυχῆς ἔσω χάραγμα.

ΝΔ.

Εἰς χρυσόν.

Ὁ δραπέτας μ' ὁ χρυσὸς
Ὅταν φύγῃ με κραιπνοῖς
Διηνέμοις τε ταρσοῖς,
Ἀεὶ δ', ἀεί με φεύγει,

Validum ſenemque cerne
Lepideque conjocantem,
Lepideque combibentem,
Lepideque confurentem.

LIII.

De amatoribus. H. ST.

Equi ſolent inuſtum
Coxis habere ſignum,
Parthique de tiaris
Plerumque noſcitantur:
At intuente amantes
Mox noſcitantur a me;
Nam neſcio quod omnes
Signum ſolent minutum
Inuſtum habere cordi.

LIV.

De auro.

Fugitivum aurum
Quum fugit me velocibus
Ventoſque æquantibus plantis,
Semper autem, ſemper me fugit:

Οὔ μιν διώκω· τίς γὰρ
Μισῶν θέλει τι θηρᾷν;
Ἐγὼ δ' ἄφαρ λιασθεὶς
Τῷ δραπέτα τῷ χρυσῷ,
Ἐμῶν φρενῶν μὲν αὔραις
Φέρειν ἔδωκα λύπας,
Λύρην δ' ἑλὼν, ἀείδω
Ἐρωτικὰς ἀοιδάς.
Πάλιν δ' ὅταν με θυμὸς
Ὑπερφρονεῖν διδάξῃ,
Προσεῖπεν ὁ δραπέτας,
Φέρων μέθαν μοι φροντίδων,
Ἑλών μιν ὡς μεθ' ἡμῶν
Λύρης γένωμαι λαρόν.
Ἄπιστ', ἄπιστε χρυσὲ,
Ἔστ' ἂν δόλοις με θέλγῃς,
Πλέον χρυσοῦ νευρά.
Πόθους κέκλυθι ἀδεῖς.

Non ipſum perſequor; quis enim
Odio perſequens aliquid vult venari
illud?
Ego vero, ſtatim ſummotus
A fugitivo auro,
Meæ quidem mentis ventis
Ferendos trado mœrores:
Lyram autem ſumens, cano
Amatorias cantilenas.
Rurſum autem, ubi me animus
Contemnere docuerit,
Compellavit fugitivum,
Ferens ebrietatem curarum,
Cupiens eum ut negligens
Lyræ fiam dulcis.
Infidum, infidum aurum,
Quamdiu dolis me demulcebis,
Plus eſt fides lyræ quam aurum.
Amores audi jucundos.
Ciebo barbitum.

Ἀνὰ βάρβιτον δονήσω,
Ἄεθλος μὲν οὐ πρόκειται,
Μελέτη δ' ἔπεστι παντὶ
Σοφίης λαχόντ' ἄωτον.
Ἐλεφαντίνῳ δὲ πλήκτρῳ
Λιγυρὸν μέλος κροαίνων,
Φρυγίῳ ῥυθμῷ βοήσω,
Ἅτε τὶς κύκνος Καΰστρου
Πολιοῖς πτεροῖσι μέλπων
Ἀνέμου σύναυλον ἠχήν.
Σὺ δὲ, Μοῦσα, συγχόρευε,
Ἱερὸν γάρ ἐστι Φοίβου
Κιθάρη, δάφνη, τρίπους τε.
Λαλέω δ' ἔρωτα Φοίβου,
Ἀνεμώλιον τὸν οἶστρον·
Σαόφρων γάρ ἐστι κούρα·
Τὸ μὲν ἐκπέφευγε κέντρον,
Φύσεως δ' ἄμειψε μορφήν·

Certamen quidem propoſitum non eſt,
Sed commentatio adeſt omni
Qui ſapientiæ ſortitus eſt florem.
Eburneo autem plectro
Argutum carmen ſtrepens
Phrygiis numeris ſonabo,
Velut aliquis cygnus Cayſtri
Candidis alis modulans
Sonantem una cum vento vocem.
Tu autem, Muſa, ſimul choros duc,
Eſt enim res ſacra Phœbo
Cithara, laurus, et tripus.
Eloquor autem amorem Phœbi,
Vanum ardorem:
Caſta enim eſt puella.
Effugit quidem aculeum;
Naturalem autem mutavit formam,
Arborque pulchre florens reſonat.
At Phœbus, ibat Phœbus,
Potiri ſe puella putans;

Φυτὸν εὐθαλὲς δ' ἐπηχεῖ.
Ὁ δὲ Φοῖβος, ἦε Φοῖβος,
Κρατέειν κόρην νομίζων,
Χλοερὸν δρέπων δὲ φύλλον,
Ἐδόκει τελεῖν Κυθήρην.
    Ἄγε, θυμὲ, πῆ μέμηνας,
Μανίην μανεὶς ἀρίστην;
Τὸ βέλος φέρε κρατύνων,
Σκοπὸν ὡς βαλὼν ἀπέλθῃς.
Τὸ δὲ τόξον Ἀφροδίτης
Ἄφες, ὡς θεοὺς ἐνίκα.
Τὸν Ἀνακρέοντα μιμοῦ
Τὸν ἀοίδιμον μελιστήν.
Φιάλην πρόπινε παισὶν,
Φιάλην λόγων ἐραννὴν,
Ἀπὸ νέκταρος ποτοῖο
Παραμύθιον λαβόντες,
Φλογερὸν φυγόντες ἄστρον.

Et viride folium carpens
Putabat ſe agitare Venerem.
Age, anime; cur furore captus es,
Furore furens optimo?
Telum fer vires admovens,
Scopo ut tacto diſcedas.
Arcum autem Veneris
Relinque, quo deos ſuperabat.
Anacreontem imitare,
Celeberrimum lyricum.
Phialam propina pueris,
Phialam ſermonum amabilem,
E nectaris potu
Recreatione ſumpta,
Igneo aſtro evitato.
Tu enim dolo, tu invidia
Amorem poſuiſti hominibus.
Lyram autem ſalitam votis
Amorum pocula ſeligunt
Et oſculorum ſuaviſſimorum.

Σὺ γὰρ δόλῳ, σύ τοι φθόνῳ
Ἔρωτ' ἔθηκας ἀνδράσι.
Λύρην δ' ἀλίπαστον εὖ
Φιλαμάτων τε κεδνῶν,
Πόθων κύπελλα κρίνῃ.
Ὅταν θέλῃς δὲ φεύγῃς.
Λύρης δ' ἐμῆς ἀοιδὰν
Οὐκ ἂν λίποιμι τυτθόν.
Ξείνοισι δ' ἄγχι Μουσῶν
Δολίοις ἀπίστοις ἁνδάνεις.
Ἐμοὶ δὲ τῷ λυροκτύπῃ
Μούσας φρεσὶν ἀποίκους
Ἀχανδέας ὀρίνοις,
Αἴγλαν τε λαμπρύνοις.

ΝΕ.

Εἰς τὸ ἔαρ.

Τί καλόν ἐστι βαδίζειν
Ὅπου λειμῶνες κομῶσιν,

Quum volueris vero fugias:
Lyræ autem meæ cantum
Non linquam vel minimum.
Barbaris vero Musarum loco
Dolosis, o infide, placeas:
Mihi autem citharistæ
Musas in animo colonas
Valde gloriosas excites,
Splendoreque me illustres.

LV.

De vere.

Quam pulchrum est ambulare
Ubi prata luxuriant,

Ὅπου λεπτὴν ἡδυτάτην
Αναπνεῖ Ζέφυρος αὔρην,
Κλῆμα τὸ βάκχειον ἰδεῖν,
Χ' ὑπὸ τὰ πέταλα δῦναι,
Ἁπαλὴν παῖδα κατέχων
Κύπριν ὅλην πνέουσαν.

Νϛ.

Εἰς ἑαυτόν.

Πολιοὶ μὲν ἡμὶν ἤδη
Κρόταφοι, κάρα δὲ λευκόν·
Χαρίεσσα δ' οὐκ ἔθ' ἥβη
Πάρα, γηραλέοι δ' ὀδόντες·
Γλυκεροῦ δ' οὐκέτι πολλὸς
Βιότου χρόνος λέλειπται.
Διὰ ταῦτ' ἀνασταλύζω
Θαμὰ, Τάρταρον δεδοικώς.
Ἀΐδεω γάρ ἐστι δεινὸς
Μυχὸς, ἀργαλέη δ' ἐς αὐτὸν

Ubi tenuem jucundiſſimam
Exhalat Zephyrus auram;
Palmitem bacchicum intueri,
Et pampinos ſubire;
Teneram et puellam tenere,
Quæ tota ſpiret Venerem!

LVI.

In ſeipſum.

Cana nobis jam
Tempora, caputque album;
Venuſtaque non amplius pubes
Adeſt, ſeneſque ſunt dentes:
Et dulcis non amplius multum
Vitæ tempus relictum eſt.
Propterea ingemiſco
Frequenter, Tartarum metuens.
Orci enim eſt horrendus
Specus, et gravis in ipſum

Κάθοδος· καὶ γὰρ ἕτοιμον
Καταβάντι μὴ ἀναβῆναι.

ΝΖ.

Ἄγε δὴ φέρ' ἡμὶν, ὦ παῖ,
Κελέβην, ὅπως ἄμυστιν
Προπίω. Τὰ μὲν δέκ' ἔγχει
Ὕδατος, τὰ πέντε δ' οἴνου
Κυάθοις, ὡς ἀνυβριστὶ
Ἀναδεύων βασσαρήσω.

. . . .

Ἄγε δῶτε, μηκέθ' οὕτω
Πατάγῳ τε κἀλαλητῷ
Σκυθικὴν πόσιν παρ' οἴνῳ
Μελετῶμεν, ἀλλὰ καλοῖς
Ὑποπίνοντες ἐν ὕμνοις.

ΝΗ.

Εἰς Ἔρωτα.

Τὸν Ἔρωτα γὰρ τὸν ἁβρὸν

Deſcenſus. Nam patet
Ei qui deſcendit nullus aſcenſus.

LVII.

Agedum affer nobis, puer,
Celeben, ut amyſtin
Propinem. Decem quidem infunde
Aquæ, quinque autem vini
Cyathos, ut abſque contumelia
In epulis bacchemur.

. . . .

Agite date, ne amplius ita
Strepitu et fremitu
Scythicam potationem inter vina
Exerceamus, ſed pulchros
Potantes inter hymnos.

LVIII.

In Amorem.

Amorem enim tenerum

Μέλπομαι βρύοντα μίτραις
Πολυανθέμοις, ἀείδων.
Ὅδε καὶ θεῶν δυνάστης·
Ὅδε καὶ βροτοὺς δαμάζει.

ΝΘ.

Ἀπανεία.

Γουνοῦμαι σ', ἐλαφηβόλε,
Ξανθὴ παῖ Διὸς, ἀγρίων
Δέσποιν' Ἄρτεμι θηρῶν.
Ἵκου νῦν ἐπὶ Ληθαίου
Δίνῃσι, θρασυκαρδίων
Ἀνδρῶν ἐσκαθόρα πόλιν
Χαίρουσ', οὐ γὰρ ἀνημέρους
Ποιμαίνεις πολιήτας.

Ξ.

Πῶλε Θρηϊκίη, τί δή με
Λοξὸν ὄμμασι βλέπουσα
Νηλεῶς φεύγεις, δοκέεις δὲ

Celebro, abundantem redimiculis
Varios habentibus flores decantans.
Ille et deorum dominator,
Ille mortales etiam domat.

LIX.

Supplicatio.

Supplico tibi, cervorum jaculatrix,
Flava filia Jovis, agreſtium
Domina Diana ferarum,
Veni nunc ad Lethæi
Gurgites; trepidantium corde
Virorum aſpice civitatem
Gaudens: non enim immites
Alis cives.

LX.

Equulea Threicia, cur me
Limis oculis intuens

Μ' οὐδὲν εἰδέναι σοφόν;
Ἴσθι τοι, καλῶς μὲν ἄν σοι
Τὸν χαλινὸν ἐμβάλοιμι,
Ἡνίας δ' ἔχων στρέφοιμι
Ἀμφὶ τέρματα δρόμου.
Νῦν δὲ λειμῶνάς τε βόσκεαι,
Κοῦφά τε σκιρτῶσα παίζεις·
Δεξιὸν γὰρ ἱπποπείρην
Οὐκ ἔχεις ἐπεμβάτην.

ΞΑ.

Περὶ Ἀνακρέοντος.

Ἀνακρεων ἰδών με,
Ὁ Τήϊος μελῳδὸς,
Ὄναρ λέγων, προσεῖπε.
Κἀγὼ δραμὼν πρὸς αὐτὸν
Περιπλάκην φιλήσας.
Γέρων μὲν ἦν, καλὸς δὲ,
Καλός τε καὶ φίλευνος·

Crudeliter fugis, putaſque
Nihil noviſſe ſcitum?
Scias belle tibi
Frænum imponere poſſim,
Habenaſque tenens, verſare queam
Circum metas curriculi.
At nunc prata depaſceris,
Et agiliter exſiliens ludis;
Habilem enim equeſtris rei peritum
Non habes ſeſſorem.

LXI.

De Anacreonte.

Anacreon conſpicatus me,
Teïus ille poeta melicus,
In ſomnio, dicens quid, eſt allocutus:
Et ego accurrens ad eum
Complexabar exoſculatus.
Senex quidem erat, at pulcher,
Pulcher erat, et amoribus deditus:

Τὸ χεῖλος ὦζεν οἴνου.
Τρέμοντα δ' αὐτὸν ἤδη
Ἔρως ἐχειραγώγει.
Ὁ δ' ἐξελὼν καρήνου
Ἐμοὶ ςτέφος δίδωσι·
Τὸ δ' ὦζ' Ἀνακρέοντος.
Ἐγὼ δ' ὁ μωρὸς ἄρας
Ἐδησάμην μετώπῳ·
Καὶ δῆθεν ἄχρι καὶ νῦν
Ἔρωτος οὐ πέπαυμαι.

ΞΒ.

Δότε μοι λύρην Ὁμήρου,
Φονίης ἄνευθε χορδῆς.
Φέρε μοι κύπελλα θεσμῶν,
Φέρε μοι, νόμους κεράσσω,
Μεθύων ὅπως χορεύσω.
Ὑπὸ ςώφρονος δὲ λύσσης,
Μετὰ βαρβίτων ἀείδων,

Labium ejus redolebat vinum;
Et jam pene vacillantem illum
Cupido manu ducebat.
  Ille itaque eximens de capite
Mihi coronam donat;
Quæ ſpirabat Anacreontem.
At ego ſtultus, illâ acceptâ coronâ,
Alligabam meæ fronti;
Atque ita etiam nunc uſque
Ab amore non ceſſo.

LXII.

Age, da lyram mî Homeri,
Ubi chorda abeſt cruenta.
Age, da ſcyphos ſacrarum,
Volo temperare, legum:
Ut humum ebrius laceſſam,
Pede verberans ſoluto:
Cytharâque concinente,

Τὸ παροίνιον βοήσω.

ΞΓ.

Ἄγε, ζωγράφων ἄριστε,
Λυρικῆς ἄκουε Μούσης.
Γράφε τὰς πόλεις, τὸ πρῶτον,
Ἱλαράς τε καὶ γελώσας·
Φιλοπαίγμονάς τε Βάκχας,
Ἑτεροπνόοις ἐν αὐλοῖς.
Ὁ δὲ κηρὸς ἂν δύνηται,
Γράφε καὶ νόμους φιλοῦντων.

ΞΔ.

Εἰς νεκρὸν Ἄδωνιν.

Ἄδωνιν ἡ Κυθήρη
Ὡς εἶδε νεκρὸν ἤδη,
Στυγνὰν ἔχοντα χαίταν,
Ὠχράν τε τὴν παρειὰν,
Ἄγειν τὸν ὗν πρὸς αὐτὰν
Ἔταξε τοὺς Ἔρωτας.

Rabie furens modeſtâ
Temulenta verba fundam.

LXIII.

Age, pictor optime, audi
Lyricæ modos camœnæ.
Berecynthiaſque vento
Minime ſuo ſonantes,
Age, tibias jocoſis
Penitus relinque Bacchis.
Age, pinge civitates
Hilaras, nec abſque riſu.
Modo vero cera poſſit,
Etiam ſuas amantum
Mihi pinge ſanctiones.

LXIV.

In mortuum Adonidem.

Adonin Venus
Ut vidit mortuum jam,
Horridam habentem comam,
Pallidamque genam,

Οἱ δ' ἐυθέως πόλανοὶ
Πᾶσαν δραμόντες ὕλαν,
Στυγνὸν τὸν ὗν ἀνεῦρον,
Δῆσάν τε, κἀπέδησαν.
Χὡ μὲν, βρόχῳ καθάψας,
Ἔσυρεν αἰχμάλωτον·
Ὁ δ', ἐξόπισθ' ἐλαύνων,
Ἔτυπτε τοῖσι τόξοις.
Ὁ θὴρ δ' ἔβαινε δειλῶς·
Φοβεῖτο γὰρ Κυθήραν.
Τῷ δ' εἶπεν Ἀφροδίτα·
Πάντων κάκιστε θηρῶν,
Σὺ τόνδε μηρὸν ἴψω;
Σὺ μεῦ τὸν ἄνδρ' ἔτυψας;
Ὁ θὴρ δ' ἔλεξεν ὧδε.
Ὄμνυμί σοι, Κυθήρα,
Αὐτάν σε, καὶ τὸν ἄνδρα,
Καὶ ταῦτά μευ τὰ δεσμὰ,

Ducere aprum ad ſe
Juſſit Amores.
Illi vero ſtatim, ut volucres,
Per omnem currentes ſylvam,
Inviſum aprum invenerunt,
Ligarunt, et inſuper ligarunt:
Et hic quidem, func innectens,
Trahebat captivum;
Ille, a tergo agens,
Percutiebat arcu:
At ferus incedebat trepide;
Metuebat enim Venerem.
Illi vero dixit Venus:
O omnium peſſime ferorum,
Tunc iſtud femur læſiſti?
Tune meum virum percuſſiſti?
At ferus dixit hoc modo:
Juro tibi, o Venus,
Per teipſam, et virum tuum,

Καὶ τώσδε τὼς κυναγὼς,
Τὸν ἄνδρα τὸν καλόν ϛευ
Οὐκ ἤθελον παλάξαι·
Ἀλλ᾽ ὡς ἄγαλμ᾽ ἐσεῖδον,
Καὶ, μὴ φέρων τὸ καῦμα,
Γυμνὸν, τὸν εἶχε, μηρὸν
Ἐμαινόμαν φιλᾶσαι·
Καί μευ κατεσίναζε.
  Τούτους λαβοῖσα, Κύπρι,
Τούτους κόλαζε, τέμνε
(Τί γὰρ φέρω περισσῶς;)
Ἐρωτικὼς ὀδόντας.
Αἰ δ᾽ οὐχί ϛοι τάδ᾽ ἀρκεῖ,
Καὶ ταῦτ᾽ ἐμεῦ τὰ χείλη.
  Τὸν δ᾽ ἠλέησε Κύπρις,
Εἶπέν τε τοῖς Ἔρωσι,
Τὰ δεσμὰ οἱ ᾽πιλῦσαι.
  Ἐκ τῶδ᾽ ἐπηκολούθει,

Et hæc mea vincula,
Et hoſce venatores,
Virum tuum formoſum
Minime volebam ferire ;
Verum velut ſimulacrum intuebar ;
Et nullatenus ferens amoris incendium,
Nudum quod habuit femur
Perdite cupiebam oſculari :
Idque mihi nocumento fuit.
  Hos igitur accipiens, o Venus,
Hos inquam, puni, excide,
(Quid enim gero ſupervacaneos ?)
Amatorios dentes.
Sin minus tibi hæc ſuffecerint,
Etiam et hæc mea labra.
  Hujus vero miſerta eſt Venus,
Juſſitque Amoribus
Ut vincula illi reſolverent.
Ex eo tempore Venerem aſſequebatur,

Κᾀς ὕλαν οὐκ ἔβαινε·
Καὶ δὴ πυρὶ προσελθὼν
Ἔκαιε τοὺς ἔρωτας.

ΩΔΩΝ ΤΕΛΟΣ.

Sylvamque amplius haud rediit:
Et ad ignem accedens,
Exuffit amores.

ODARUM FINIS.

ΑΝΑΚΡΕΟΝΤΟΣ
ΜΕΛΗ,
ΚΑΙ
ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

Α.

ΑΤΕ νεβρὸν νεοθηλέα γαλαθηνὸν, ὅς τ' ἐν ὕλῃ
κεροέσσης ἀπολειφθείς ὑπὸ μητρὸς ἐπτοήθη.

Β.

Ἀπό μοι θανεῖν γένοιτ', οὐ γὰρ ἂν ἄλλη
Λύσις ἐκ πόνων γένοιτ' οὐδαμὰ τῶνδε.

Γ.

Φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ·
Φέρε δ' ἀνθεμεῦντας ἡμῖν

ANACREONTIS CARMINA, ET FRAGMENTA.

I.

VELUTI hinnuleum recens natum, lactentem, qui in ſylva derelictus a matre cornigera pavitat.

II.

Mori mihi contingat; non enim alia
Liberatio ab ærumnis fuerit ullo pacto iſtis.

III.

Fer aquam, fer vinum, o puer;
Fer et florentes nobis

Στεφάνους· ἔνεικον, ὡς μὴ
Πρὸς Ἔρωτα πυκταλίζω.

Δ.

Ἐπὶ δ' ὀφρύσι σελίνων στεφανίσκους θέμενοι,
θάλειαν ἑορτὴν ἀγάγωμεν Διονύσῳ.

Ε.

Ὦ παῖ παρθένιον βλέπων, δίζημαί σε,
Σὺ δ' οὐκ ἀΐεις, οὐκ εἰδὼς ὅτι τῆς ἐμῆς ψυχῆς ἡνιοχεύεις.

ϛ.

Ἐμὲ γὰρ λόγων εἵνεκα παῖδες ἂν φιλοῖεν χαρίεντα μὲν γὰρ ᾄδω, χαρίεντα δ' οἶδα λέξαι.

Ζ.

Μεγάλῳ δ' ἦυτέ μ' Ἔρως ἔκοψεν, ὥστε χαλκεὺς,
Πελέκει, χειμερίῃ δ' ἔλουσεν ἐν χαράδρῃ.

Coronas; fer cito, ut ne diutius
Contra Amorem ut pugil contendam.

IV.

Superciliis apii corollas imponentes, læ-
tum feſtum agamus Baccho.

V.

O puer virgineum quid tuens, quæro te:
At tu non audis, neſciens te animi mei
eſſe aurigam.

VI.

Me enim ſermonum cauſa pueri dili-
gant: nam venuſta quidem cano, ve-
nuſta autem dicere poſſum.

VII.

Magna quando me Amor percuſſit, tan-
quam faber,
Securi, hybernoque lavit in torrente.

Η.

Ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάς·
Οἴνου δ' ἐξέπιον κάδδον· νῦν δ' ἁβρῶς ἐρόεσσαν
Ψάλλω πηκτίδα, τῇ φίλῃ κωμάζων παιδὶ
ἁβρῇ.

Θ.

Ἐγὼ τ' ἂν οὔτ' Ἀμαλθίης βουλοίμην κέρας,
Οὔτε τὰ πεντήκοντά τε καὶ ἑκατὸν Ταρτησσοῦ
βασιλεῦσαι.

Ι.

Μεὶς μὲν δὴ Ποσειδηΐων ἕστηκε,
Νεφέλαι δ' ὕδατι βαρύνονται,
Ἄγριοι δὲ χειμῶνες παταγοῦσι.

ΙΑ.

Μηδ' ὥστε κῦμα πόντιον λάλαζε τῇ πολυκρότῃ
Σὺν Γαστροδώρῃ καταχύδην πίνουσα τὴν ἐπίσ-
τιον.

VIII.

Pranſus ſum ex itrio tenui paululum defringens,
Vinique ebibi cadum: nunc vero molliter amabilem
Pulſo citharam charæ comiſſans puellæ ſuaviculæ.

IX.

Ego nec Amaltheæ optem cornu,
Neque annos quinquaginta et centum Tarteſſi regnare.

X.

Menſis Poſideon adeſt,
Nubeſque aqua gravantur,
Horridæquæ tempeſtates perſtrepunt.

XI.

Nec ut fluctus marinus freme clamoſa cum Gaſtrodora affatim bibens calicem epheſtion.

ΙΒ.

Φίλη γὰρ εἶ ξένοις, ἔασον δέ με διψῶντα πιεῖν.

ΙΓ.

Ἐγὼ δ' ἔχων σκύπφον Ἐρξίωνι τῷ λευκολόφῳ μεστὸν ἐξέπινον·

ΙΔ.

Καλλίκομοι κοῦραι Διὸς ὠρχήσαντ' ἐλαφρῶς.

ΙΕ.

Στεφάνους δ' ἀνὴρ τρεῖς ἕκαστος εἶχεν,
Τοὺς μὲν, ῥοδίνους, τὸν δὲ, Ναυκρατίτην.

Ιϛ.

Μεγίστης δ' ὁ φιλόφρων δέκα δὴ μῆνες, ἐπειδὴ στεφανοῦται τῇ λύγῳ, καὶ τρύγα πίνει μελιηδέα.

XII.

Amica enim es hoſpitibus: ſine autem me ſitientem bibere.

XIII.

Ego vero habens ſcyphum Herxioni album geſtanti galeæ conum plenum ebibi.

XIV.

Pulchricomæ filiæ Jovis ſaltaverunt agiliter.

XV.

Coronas autem tres unuſquiſque vir habebat,
Duas quidem roſeas, unam autem Naucratitem.

XVI.

Megiſtes benignus decem elapſi ſunt menſes ex quo coronatur vitice, et vinum bibit quod melleam ſuavitatem habet.

ΙΖ.

Τί μὴν πέτεαι, συρίγγων κοιλότερα στήθεα χρισάμενος μύρῳ;

ΙΗ.

Ψάλλω δ' εἴκοσι χορδαῖσι μαγάδιν ἔχων, ὦ Λεύκασπι· σὺ δ' ἡβᾷς·

ΙΘ.

Δακρυόεσσαν τ' ἐφίλησεν αἰχμάν.

Κ.

Ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κούφαις
Διὰ τὸν ἔρωτ', οὐ γὰρ ἐμοὶ θέλει συνηβᾷν.

ΚΑ.

Ξανθῇ δ' Εὐρυπύλη μέλει ὁ περιφόρητος Ἀρτέμων.

XVII.

Cur quidem advolas, fiſtulis magis cava pectora oblinens unguento?

XVIII.

Pſallo autem viginti chordis magadin tenens, o Leucaſpi: tu vero pubeſcens juvenaris.

XIX.

Lacrymoſamque amavit haſtam.

XX.

Subvolo ad cœlum alis velocibus
Ob amorem: non enim mecum vult ludere.

XXI.

Flavæ autem Eurypylæ curæ eſt circumvectitius Artemon.

. . . .

Πρὶν μὲν ἔχων βερβέριva καλύμματα
Ἐσφηκωμένα κ̣ ξυλίνους ἀστραγάλους ἐν ὠσὶ
Καὶ ψιλὸν περὶ πλευρῆσι βοὸς νεόπλυτον
Εἴλημα κακῆς ἀσπίδος,
Ἀρτοπώλησιν καὶ ἐθελοπόρνοισιν
Ὁμιλέων ὁ πονηρὸς Ἀρτέμων
Κίβδηλον εὑρίσκων βίον,
Πολλὰ μὲν ἐν δουρὶ τιθεὶς αὐχένα,
Πολλὰ δ' ἐν τροχῷ,
Πολλὰ δ' ἐν νώτῳ σκυτίνῃ
Μάστιγι θωμιχθεὶς, κόμην
Πώγωνά τ' ἐκτετιλμένος·
Νῦν δ' ἐπιβαίνει σατινέων, χρύσεα
Φορέων καθέρματα παῖς Κύκης,
Καὶ σκιαδίσκην ἐλεφαντίνην
Φορεῖ γυναιξὶν αὕτως.

ΚΒ.

Ὦ ἄναξ, ᾧ δαμάλης Ἔρως, καὶ Νύμφαι κυανώπιδες, πορφυρέη τε Ἀφροδίτη συμπαί-

. . . .

Prius quidem habens berberina tegu-
menta
Adſtricta, et ligneos talos in auribus,
Et depilatum circa latera bovis nuper
ablutum corium,
Velamen carioſi clypei,
Cum piſtoribus et voluntariis proſtibulis
Verſatus improbus ille Artemon
Victum inveniebat ſibi ſpurcum ac te-
nuem;
Sæpe quidem in ligno cervicem ponens,
Sæpe vero in rota,
Sæpe etiam in tergo coriaceo
Flagro cæſus, comam
Barbamque evulſus:
Nunc vero adſcendit currus, aureas
Geſtans inaures, filius Cycæ,
Et umbellam eburneam
Gerit muliercularum.

XXII.

O rex, o domitor Cupido, cum quo
Nymphæ cæruleis oculis et purpurea

ζουσιν, ἐπιστρέφεται δὲ ὑψηλῶν ὀρέων κορυφὰς, γουνοῦμαί σε, σὺ δ' εὐμενὴς ἔλθ' ἡμῖν, κεχαρισμένης δ' εὐχωλῆς ἐπακούειν, Κλευβούλῳ δ' ἀγαθὸς γένου σύμβουλος, τὸν ἐμὸν δὲ ἔρωτα ὦ δ' οὐ νῦν σε δέχεσθαι.

ΚΓ.

Σφέρ' αἴρει με πορφύρ' ἐνιβάλλων χρυσοκόμης Ἔρως νυνὶ ποικίλως λαμβάνω συμπαίζειν προκαλεῖται· ἡ δ', ἔστι γὰρ ἀπ' εὐκτικοῦ Λέσβου, τὴν μὲν ἐμὴν κόμην, λευκὴ γὰρ, καταμέμφεται, πρὸς δ' ἄλλην τινὰ χάσκει.

ΚΔ.

Πλεκτὰς δ' ὑποθυμιάδας περὶ στήθεσι λωτίνας ἔθεντο.

ΚΕ.

Ὠινοχόει δ' ἀμφίπολος μελιχρὸν οἶνον, τρικύαθον κελέβην ἔχουσα.

Venus ludunt, pervolitantque altorum montium cacumina, te ſupplex oro, tu vero propitius venias nobis, et gratas preces exaudias ; Cleobulo autem bonus eſto conſultor, et amorem meum fac ut nunc bene accipiat.

XXIII.

Pila me purpurea feriens auricomus Cupido, mente verſutus, prehendens colludere provocat cum amorem inſpirante. Illa vero, eſt enim ab eleganter condita Leſbo, meam quidem comam, cana enim ea, ſpernit, alii autem alicui inhiat.

XXIV.

Plexas vero corollas hypothymiadas circa pectora ex loto poſuerunt.

XXV.

Miniſtrabat autem ancilla vinum mellitum, tres cyathos capientem celeben habens.

ΚϚ.

Δοκέει κλύειν γὰρ ἤδε,
Λαλέειν τὶς εἰ θελήσοι.

ΚΖ.

Ἔραμαί τοι συνηβᾶν· χαρίεν γὰρ ἔχεις ἦθος.

ΚΗ.

Νῦν δ' ἀπὸ μὲν πόλεως στέφανος ὄλωλεν.

ΚΘ.

Τράπεζαί καλήρεφέες παντοίων ἀγαθῶν.

Λ.

Οὐκ ἔτι Θρηϊκίης ἐπιστρέφομαι.

ΛΑ.

Τὰ Ταντάλου ταλαντίζεται.

XXVI.

Videtur enim audire hæc,
Loqui ſi quis velit.

XXVII.

Volo tecum deliciari: venuſtam enim habes indolem.

XXVIII.

Nunc quidem urbis corona periit.

XXIX.

Menſæ onuſtæ omnifariis bonis.

XXX.

Non amplius Threïſſam curo.

XXXI.

Tantali talenta accumulat.

ΛΒ.

Κόκκυξ ὄρνεον δειλόταἶον.

ΛΓ.

Σικελικὸν κότἶαϐον ἀἶκύλῃ δαΐζων.

ΛΔ.

Χεῖρα τ' ἐν ἠγάνῳ βαλεῖν.

ΛΕ.

Τίς ἐρασμίην, θρέψας θυμὸν ἐσέϐην τέρεν' ὡς ἡμίοπον ὑπ' αὐλὸν ὀρχεῖσθαι.

Λϛ.

Ἀδυμελὲς, χαρίεσσα χελιδοῖ.

ΛΖ.

Ἀλκίμων σ', ὦ Ἀρισἶοκλείδη, πρῶτον οἰκἶείρω φίλων·
Ὤλεσας δ' ἥϐην, ἀμύνων παἶρίδος δουληΐην.

XXXII.

Cuculus, avis timidiſſima.

XXXIII.

Sicelicum cottabum manui curvatæ partiens.

XXXIV.

Manumque in ſartaginem immittere.

XXXV.

Quæ, amabilis, voluptas, mentem invaſit teneram ita ad tibiam hemiopam ſaltandi?

XXXVI.

Suaviſona, amabilis hirundo.

XXXVII.

Fortium te, Ariſtoclide, primum amicorum fleo;
Patriam quod liberando perditus ſis ipſe tu.

ΛΗ.

Οὗτος Φειδόλα ἵππος, ἀπ' εὐρυχόροιο Κορίνθου,
"Αγκειται Κρονίδῃ, μνῆμα ποδῶν ἀρετῆς.

ΛΘ.

Πρηξιδίκη μὲν ἔρεξεν, ἐβούλευσεν δὲ Δύσηρις
Εἷμα τόδε· ξυνὴ δ' ἀμφοτέρων φιλίη.

Μ.

Πρόφρων, ἀργυρότοξε, δίδου χάριν, Αἰσχύλου υἱῷ,
Ναυκράτει, εὐχωλὰς τάσδ' ὑποδεξάμενος.

ΜΑ.

Πρὶν μὲν Καλλιτέλης μ' ἱδρύσατο· τόνδε δ' ἐκείνου
"Εκγονοι ἐστήσανθ'. Οἷς χάριν ἀντιδίδου.

XXXVIII.

Hæc equa Phidolæ, peperit quem lata Corinthus,
Sancta Jovis, rapidûm ſtat monumenta pedum.

XXXIX.

Praxidice hanc veſtem fecit, ſed mente Dyſeris
Finxit opus: namque eſt amor geminis.

XL.

Sis bonus Æſchylidæ, argenteo rex ſplendidus arcu,
Naucrati, et illius hæc pia vota cape.

XLI.

Calliteles me conſtituit: quem deinde nepotes
Ipſius; quibus eſt gratia agenda tibi.

ΜΒ.

Πρηξαγόρης τάδε δῶρα θεοῖς ἀνέθηκε, Λυκαίου
'Υιός· ἐποίησεν δ' ἔργον 'Αναξαγόρης.

ΜΓ.

Παιδὶ φιλοστεφάνου Σεμέλης ἀνέθηκε Μέλανθος
Μνῆμα χοροῦ νίκης, ὑιὸς 'Αρηϊφίλου.

ΜΔ.

'Ρυσαμένη Πύθωνα δυσηχέος ἐκ πολέμοιο
'Ασπὶς, 'Αθηναίης ἐν τεμένει κρέμαται.

ΜΕ.

Σήν τε χάριν, Διόνυσε, καὶ ἀγλαὸν ἄστεϊ κόσμον,
Θεσσαλίης μ' ἀνέθηκ' ἀρχὸς 'Εχεκρατίδης.

XLII.

Praxagoras hæc dona deo dedit ipſe Lycæo
Ortus; opus vero fecit Anaxagoras.

XLIII.

Hoc Semelæ nato gratus dedit ipſe Melanthus,
Succeſſus cauſa, natus Areiphili.

XLIV.

Qui Pythona tulit ſalvum ex diſcrimine belli,
Palladis in luco figitur hic clypeus.

XLV.

Bacche, tui cauſa, atque urbis decus inde futurum,
Me dat Theſſaliæ rector Echecratides.

Μϛ.

Ἔυχεο, Τιμώνακτι θεῶν κήρυκα γενέσθαι
 Ἤπιον· ὅς μ' ἐρατοῖς ἀγλαΐην προθύροις,
Ἑρμῇ τε κρείοντι καθέσσατο· τὸν δ' ἐθέλοντα
 Ἀστῶν καὶ ξείνων γυμνασίῳ δέχομαι.

ΜΖ.

Τληΐῃ ἱμερόεντα βίον πόρε, Μαιάδος υἱὲ,
 Ἀντ' ἐρατῶν δώρων τῶνδε χάριν θέμενος·
Δὸς δέ μιν εὐθυδίκων Εὐωνυμέων ἐνὶ δήμῳ
 Ναίειν, αἰῶνος μοῖραν ἔχοντ' ἀγαθῆς.

ΜΗ.

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος οὗ τόδε
 σῆμα·
 Ἄρης οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κα-
 κῶν.

XLVI.

Præco Deum ut fautor ſit Timonacti precare,
Qui me perpulchris porticibuſque decus,
Mercurioque ſimul poſuit; quem deinde lubentem
Civili excipio vulgivagaque Scola.

XLVII.

Tlææ, præco Deum, vitam donato ſerenam,
Gratus ob hæc data quæ munera grata tibi;
Daque ipſum in populo per longum degere, juſto
Hoc Euonymeo, et ſorte favente frui.

XLVIII.

Conditur hoc tumulo præſtans Timocritus armis:
Haud parcit Mavors fortibus, at timidis.

ΜΘ.

Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα
Πᾶσ' ἐπὶ πυρκαϊῆς ἥδ' ἐβόησε πόλις·
Οὔτινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης
Ἠνάρισε στυγερῆς ἐν στροφάλιγγι μάχης.

Ν.

Καὶ σὲ, Κλεηνορίδη, πόθος ὤλεσε πατρίδος αἴης,
Θαρσήσαντα Νότου λαίλαπι χειμερίῃ.
Ὥρη γάρ σ' ἐπέδησεν ἀνέγγυος· ὑγρὰ δὲ τὴν σὴν
Κύματ' ἐφ' ἱμερτὴν ἔκλυσεν ἡλικίην.

ΝΑ.

Ἡ τὸν θύρσον ἔχουσ', Ἑλικωνιάς· ἡ δὲ παρ' αὐτῇ,
Ξανθίππη· Γλαύκη δ', ἡ σχεδὸν ἐρχομένη.

XLIX.

Pro patria egregium bellis Agathona peremptum
Abdera exclamans planxit in igne rogi:
Namque parem nullum juvenum Mars ſanguine gaudens
In duræ occidit turbine militiæ.

L.

Teque, Cleenoride, patriæ pia cura peremit,
Dum ſpernis rapidi dura flagella Noti:
Teque hora implicuit, nullo ſponſore cavenda;
Fluctibus at florens merſa juventa tua eſt.

LI.

Quæ thyrſum gerit eſt Heliconias; ad latus olli
Xanthippe; Glauca eſt, proxima quæ ſequitur.

Ἐξ ὄρεος χωρεῦσι, Διονύσῳ δὲ φέρουσι
Κισσὸν, καὶ σταφυλὴν, πίονα καὶ χίμαρον.

ΝΒ.

Οὐ φίλος, ὃς κρητῆρι παρὰ πλέῳ οἰνοποτάζων,
Νείκεα καὶ πόλεμον δακρυόεντα λέγει·
Ἀλλ' ὅστις Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης
Συμμίσγων, ἐρατῆς μνήσκεται εὐφροσύνης.

ΝΓ.

Βουκόλε, τὴν ἀγέλην πόῤῥω νέμε· μὴ τὸ Μύρωνος
Βοΐδιον, ὡς ἔμπνουν, βουσὶ συνεξελάσῃς.

ΝΔ.

Βοΐδιον οὐ χοάνοις τετυπωμένον, ἀλλ' ὑπὸ γήρως
Χαλκωθὲν, σφετέρῃ ψεύσατο χειρὶ Μύρων.

Monte pedem referunt; Baccho et ſua munera portant,
Pinguem hædum, atque uvam, criſpicomamque hederam.

LII.

Non placet ille mihi, plena inter pocula, quiſquis
Diſſidia et Martis bella cruenta refert,
Sed qui Muſarum Veneriſque illuſtria dona
Commiſcet, lepidis ſeque dat uſque jocis.

LIII.

Paſce, bubulce, greges procul hinc, ne forte Myronis
Æs, veluti ſpirans, cum bobus exagites.

LIV.

Bucula non fuſa eſt, ſed in æs induruit annis,
Quam ſibi, ſed falſo, vindicat ille Myron.

ΝΕ.

Θεάων ἄνασσα Κύπρι,
Ἵμερε κράτος χθονίων,
Γάμε βιότοιο φύλαξ,
Ὑμέας λόγοις λιγαίνω,
Ὑμέας στίχοις κυδαίνω,
Ἵμερον, Γάμον, Παφίην.
Δέρκεο τὴν νεᾶνιν, δέρκεο, κοῦρε·
Ἔγρεο, μή σε φύγῃ πέρδικος ἄγρα.
Στρατόκλεις φίλος Κυθήρης,
Στρατόκλεις ἄνερ Μυρίλλης,
Ἴδε τὴν φίλην γυναῖκα.
Κομάει, τέθηλε, λάμπει.
Ῥόδον ἀνθέων ἀνάσσει·
Ῥόδον ἐν κόραις Μύριλλα.
Ἥλιος τὰ σέθεν δέμνια φαίνοι·
Κυπάριττος πεφύκοι σεῦ ἐνὶ κήπῳ.

Νϛ.

Σίμαλον εἶδον ἐν χορῷ, πηκτίδ' ἔχοντα καλήν.

LV.

Dearum regina, Venus,
Amor, imperator mortalium,
Hymen, vitæ tutela,
Vos carminibus celebro;
Vos verſibus laudo,
Amorem, Hymenem, Venerem.
Adſpice puellam, adſpice, puer:
Surge, ne te fugiat perdicis captura.
Stratocles, amice Veneris,
Stratocles, vir Myrillæ,
Vide tuam uxorem charam:
Floret, viget, ſplendet.
Roſa floribus imperat;
Roſa inter virgines Myrilla.
Sol cubilia tua illuſtret:
Cupreſſus creſcat tuo in horto.

LVI.

Simalum vidi in choro, pectidem habentem pulchram.

ΝΖ.

Ἔρως εἰσιδών με ὑποπόλιον γένειον, χρυσοφαέννων πτερύγων ἢ ἀετοῖς παραπέτεσθω.

ΤΕΛΟΣ.

LVII.

Amor, videns me ſubcanum mento, auro ſplendentibus alis aërius prætervolet.

FINIS.

Valuable Books Printed by and for R. E. MERCIER, *and Co.* No. 31, *Anglesea-Street, Dublin.*

1. *T. Livii Patavini Historiarum, ab Urbe condita, libri qui supersunt* XXXV. *Textum recognovit, selectis variorum notis illustravit, suasque aliquot, adjecit Johannes Walker: A. M. Collegii Dubliniensis Socius. Tomus primus;* 8*vo.* 5*s.* 11½*d. bound.*
2. *Dionysii Longini de Sublimitate Commentarius, Gr. & Lat. Curante Georgio Miller, D. D. Collegii Dubliniensis Socio,* 8*vo.* 6*s.* 6*d. bound.*
3. *Selecti ex Luciano Dialogi quidam: Gr. & Lat. Editio altera;* 8*vo.* 6*s.* 6*d. bound.*
   A few copies are splendidly printed on Royal Wove Paper; 13*s. in boards.*
4. *Labbe Eruditæ Pronunciationis Catholici Indices; a new edition most carefully corrected;* 12*mo.* 3*s.* 9½*d. bound.*
   A few copies on writing paper, 4*s.* 10½*d. bound.*
5. *Butler's Horæ Biblicæ; being a connected series of Miscellaneous Notes on the Original Text, Early Versions, and Printed Editions of the Old and New Testaments; elegantly printed on a Thick Writing Post Paper;* 8*vo.* 3*s.* 9½*d.*
6. *A Hebrew Grammar for the use of the Students of the University of Dublin, by the Rev. Gerald Fitzgerald, D. D. Professor of Hebrew in said University,* 8*vo.* 4*s.* 4*d. sewed.*
7. *An Essay on the Originality and Permanency of the Biblical Hebrew; with an Application to the leading Principle of a Modern Unbeliever; by the same Author,* 8*vo.* 6*s.* 6*d. in boards.*
8. *Poems: The Academic Sportsman; The Injured Islanders; The Oeconomist; and the Revival; by the same Author; elegantly printed on a Fine Post,* 8*vo.* 3*s.* 9½*d.*

9. *Sermons*

9. *Sermons Preached in the Chapel of Trinity College, Dublin, in* 1795; *to which is added an Act Sermon, preached for the degree of D. D. by Thomas Elrington, D. D. M. R. I. A. and S. F. T. C. D.* 5*s.* 5*d. in boards.*

10. *Locke's Essay on Government, with Notes, by Dr. Elrington;* 12*mo.* 2*s.* 8½*d. in boards.*

11. *Elements of Natural Philosophy; by George Miller, D. D. F. T. C. D,* 8*vo.* 6*s.* 6*d. in boards.*

12. *An Analysis of the Principles of Natural Philosophy; by the late Rt. Rev. Matthew Young, Lord Bishop of Clonfert;* 8*vo.* 11*s.* 4½*d. in boards.*

13. *An Enquiry into the Origin of the Constellations that compose the Zodiac, and the uses that they were intended to promote: by John Barrett, D. D. S. F. T. C. D.* 8*vo.* 6*s.* 6*d. in boards.*

14. *A Sermon preached in the Chapel of Trinity College, Dublin, on Sunday 7th Dec.* 1801, *upon the Death of the Rt. Rev. Matthew Young, Lord Bishop of Clonfert; by Thomas Elrington, D. D. S. F. T. C. D. third edition,* 1*s.* 1*d.*

15. *A Funeral Sermon on the Death of the Rev. Wm. Cotter, Junior Fellow of Trinity College, Dublin, preached in the Chapel of said College, January,* 25*th* 1801; *by Richard Greaves, D. D. S. F. T. C. D.* 1*s.* 1*d.*

16. *A Narrative of what passed at Killalla, in the County of Mayo, and the parts adjacent, during the French Invasion in the Summer of* 1798, *BY AN EYE-WITNESS,* 8*vo.* 2*s.* 8½*d. sewed.*

17. *Another edition of the same work,* 12*mo.* 1*s.* 7½*d.*

